Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: ppu-ad

*Πινδαρικὴ ὑπόμνησις* · Pindar Commentary

# Scholia-Pythian Odes V–VII

*Σχόλια εἰς Πυθιακὰ Ὠιδὰς Ε'-Ζ'*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

P 5 t [Pyth. V.] Οὐ χρὴ γράφειν ὦ κρονίδα ι , ἀλλ' ὑμεῖς γε κρονίδα ι , ἵν' οἰκεῖον ᾖ τοῖς πρὸ αὐτοῦ τοιούτοις κώλοις.

P 5 161 Μὴ φθινοπωρί ς . ἤγουν μὴ ὥσπερ ὑπὸ φθινοπωρινῶν ἀνέμων τὰ φύλλα κεῖται τῶν δένδρων ἐπὶ τῆς γῆς καὶ φθείρεται, οὕτω καὶ πράγματα τούτῳ μαρανθῇ, ἀλλ' ἀειθαλὴς αὐτῷ διαμένοι ὁ βίος, μήποτε φθίνων μηδὲ φυλλορροῶν: καὶ ἐπὶ τῇ ὀλυμπίᾳ.

P 5 166 ἐνταῦθα τὸ ἐπ ι· ἤγουν ὥσπερ ἔδωκεν αὐτῷ ἐν τῇ πυθίᾳ. [gl.] Τούτῳ τῷ βάττου γένει, ἤγουν τῷ Ἀρκεσιλάῳ.

P 5 168 [gl.] [Pyth.

P 6 t VI.] ἐκ τῶν παλαιῶν σχολίων: τὸ προοίμιον ἀπὸ τῆς πατρίδος τοῦ νικητοῦ: Ὁ ξενοκράτης οὗτος θήρωνός ἐστιν ἀδελφός.

P 6 prae 1 νενίκηκε δὲ τὴν κδ' πυθιάδα. φανερὸν δέ, ὅτι αἱ ᾠδαὶ οὐ κατὰ τοὺς χρόνους διάκεινται· ἡ γὰρ πρὸ ταύτης ᾠδὴ ἀρκεσιλάῳ γέγραπται νικήσαντι λα' πυθιάδα. ὁ λόγος δὲ ἢ ἀπὸ τοῦ χοροῦ ἐστιν ὡς ἐγκωμιάζοντος τὴν πόλιν ὡς εὔφορον, ἢ ἀπὸ τοῦ ποιητοῦ πρὸς τοὺς μέλλοντας διακομίζειν τὸν ὕμνον.

P 6 1 οἱ μὲν οὖν χαρίτων καὶ ἀφροδίτης ἄρουραν τὴν ἀκράγαντα ἀκούουσι διὰ τὸ ἐπιτερπῆ τὴν πόλιν εἶναι καὶ ἐράσιμον, οἱ δὲ ἀλληγορικῶς τὸν πίνδαρον οἴονται λέγειν οὕτω τὴν ἑαυτοῦ ποίησιν, ἐξ ἧς ἐκαρποῦτο τὰ μέλη: Ἔνθα, ἐν τῇ πολυχρύσῳ λέγω ἀπολλωνίᾳ νάπῃ, ἤγουν ἐν τῇ πυθίᾳ, τοῖς εὐδαίμοσιν ἐμμενίδαις καὶ τῇ ἀκράγαντι καὶ τῷ ξενοκράτει ὁ πυθιόνικος θησαυρὸς τῶν ὕμνων ἕτοιμος καὶ πρόχειρος κεῖται· ἐκεῖθεν γὰρ τρόπον δή τινα οἱ νικῶντες τοὺς ὕμνους λαμβάνουσιν. [5]

P 6 4 ὡς πολλοὺς οὖν νικῶντας κοσμῶν, θησαυρὸς ὕμνων εἴρηται: Τὸν ὕμνον, φησίν, οὔτε χειμὼν τῆς μεγαλοήχου νεφέλης ἐπακτὸς ἀπηνὴς λέγω στρατὸς ἐπελθών, οὔτε ἄνεμος τύπτων ἐν χεράσι παμφόροις, ἤγουν συρφετώδει ὕλῃ, ἄξει εἰς τὰ βάθη τῆς θαλάσσης.

P 6 10 ἐριβρόμου δὲ νεφέλης τὸν ὄμβρον φησὶ καὶ στρατὸν ἀμείλιχον, σκληρᾷ μεταφορᾷ χρησάμενος διθυραμβωδῶς, παρόσον πολλῶν νεφελῶν εἰς ταὐτὸ συναγομένων καὶ συρρηγνυμένων γίνονται οἱ ὄμβροι. ὑπ' οὐδενὸς οὖν φησιν ἀπαχθήσεσθαι τὸν τοιοῦτον θησαυρὸν τῶν ὕμνων οὔτ' ὄμβρου οὔτ' ἀνέμου, ἀλλ' εἰσαεὶ διαμενεῖ: Παμφόροις καὶ χεράσι γράφε καὶ τυπτόμενο ς , διὰ τὸ μέτρον, καὶ ἄξε ι , πρὸς τὸ ἄνεμος ἀποδιδούς: Πρὸς τὸν υἱὸν ξενοκράτους θρασύβουλον

ποιεῖται τὸν λόγον, λέγων· ὦ θρασύβουλε, ὁ θησαυρὸς καὶ ὁ ὕμνος ἀπαγγελεῖ καὶ διηγήσεται ἐν τοῖς λόγοις τῶν θνητῶν, τουτέστι τοῖς τῶν ἐσομένων ἀνθρώπων λόγοις, τὴν εὔδοξον καὶ ἐπίδοξον τῷ ἅρματι νίκην, ἤτοι τὴν νίκην τοῦ ἅρματος τὴν ἐν ταῖς κρισαίαις πτυχαῖς, ἤγουν τὴν ἐν τῇ πυθῶνι, τῷ σῷ πατρὶ καὶ τῇ κοινῇ ὑμῶν γενεᾷ, τουτέστι χάριν τοῦ σοῦ πατρὸς καὶ τῆς γενεᾶς ὑμῶν. [5]

P 6 14 τοῦτο δ' ὅμοιον τῷ· τί σοι πρὸς ἔκτο ρ ' ἢ γέρον τ ' εἴπω πόσι ν ; ἤγουν, χάριν σοῦ. ὃ γὰρ λέγει τις περί τινος, ἐκείνῳ λέγει, ἤγουν χάριν ἐκείνου: Σύ, φησίν, ὦ θρασύβουλε, δεξιῶς καὶ ἐπιτηδείως ἄγεις αὐτὴν τὴν παραίνεσιν ὀρθήν, ἤγουν ὀρθῶς, κρατῶν αὐτὴν τῆς χειρός, ἤτοι ὀρθῶς ταύτην πληροῖς καὶ θεὸν τιμῶν καὶ γονέας σέβων: Ἐφημοσύναν γράφε καὶ τόποτ ε , ἵν' οἰκεῖον ᾖ τῷ μέτρῳ.

P 6 20 τὸ δὲ τόποτε ἀττικόν ἐστι. συνηθὲς γὰρ ἐκείνοις τὸ τοιαῦτα σχηματίζειν καὶ πρὸς πρᾶγμα τὸν λόγον ἀποδιδόναι. καλὸν γάρ φασιν ἡ ἀρετ ή , καὶ σοφόν τι χρῆμα ἄνθρωπο ς . ἀλλὰ καὶ υ ἶ ' ὀρφανιζομένῳ καὶ πηλεΐδᾳ διαλελυμένως γράφε· οὕτως ἔχει γὰρ τὸ μέτρον ὀρθῶς: Ὁ ἀντίλοχος υἱὸς ἦν νέστορος, ὃς καὶ διωκομένου τοῦ πατρὸς αὐτοῦ ὑπὸ μέμνονος τοῦ αἰθιόπων βασιλέως καὶ μὴ δυναμένου φεύγειν διὰ τὸ ὑπὸ πάριδος τρωθῆναι τὸν ἵππον αὐτοῦ καὶ μέλλοντος ἤδη ἀνῃρῆσθαι, βοήσαντος αὐτόν, ἔστη καὶ ἐδέξατο τὸν μέμνονα καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ, ῥυσάμενος τὸν πατέρα τοῦ θανάτου: Μεσήνιον τὸν νέστορά φασιν οὗτοι, ὅσοι ὑπέλαβον τὴν πύλον τῆς μεσήνης εἶναι, ἀλλ' οὐχὶ τῆς κατὰ τὴν ἀρκαδίαν τριφυλίας. [5]

P 6 35 ὁ μέντοι ὅμηρος οἶδεν ὑποτεταγμένην τὴν λακωνικὴν τῇ μεσήνῃ. φησὶ γάρ· δῶρα τά οἱ ξεῖνος λακεδαίμονι δῶκε τυχήσας · τὼ δ ' ἐν μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν : καὶ πίνδαρος τὸν νέστορα ἐκ τῆς μεσηνικῆς πύλου φησὶν εἶναι· τριῶν γὰρ οὐσῶν τῶν ἐν πελοπονήσῳ πύλων μία μέν ἐστιν ἡ περὶ τὸν ἀλφειὸν ποταμὸν ἐν ἤλιδι πύλος, ἣν καὶ ἡρακλῆς πεπόρθηκεν· ἑτέρα δὲ ἡ τριφυλιακὴ πύλος, ἐν ᾗ ὁ ἀμαθόεις ποταμός, οὗ καὶ ὅμηρος μέμνηται· τρίτη δὲ ἐν μεσήνῃ πύλος περὶ τὸ κορυφάσιον. εἰσὶ δὲ οἵ φασι τὰς τρεῖς πύλους ὑπὸ τὸν νηλέα εἶναι: ἀπέριψε ν . [5]

P 6 37 διὰ τὸ μέτρον. [gl.] Ἐδόκησε δὲ καὶ ἔδοξε τοῖς κατὰ τὴν γενεὰν ὁπλοτέροις καὶ νεωτέροις, τοῦτο τὸ μέγα ἔργον τελέσας, εἶναι ὕπατος καὶ ἔξοχος τῶν πάλαι, πρὸς τὴν ἀρετὴν τὴν ἀμφὶ τοῖς γονεῦσιν· ἤγουν, κατ' ἄλλα μὲν ἔξοχοι ἂν εἶεν οἱ πάλαι, κατὰ δὲ τὴν εἰς τοὺς γεγεννηκότας τιμὴν οὗτος ἐκείνων ἔδοξεν ὑπερφέρειν: ἐδόκησέ τ ε .

P 6 40 ἀντὶ μιᾶς. [gl.] πάτρωΐ τ' .

P 6 46 τῷ πάππῳ· οἱ δέ, τῷ θείῳ θήρωνι. [gl.] Οὔτε εἰς ἀδικίαν, φησίν, οὔτε εἰς ὑπερηφανίαν τῇ ἑαυτοῦ νεότητι χρῆται, ἀλλὰ καὶ τὴν τῶν πιερίδων μουσῶν σοφίαν εἰς βάθος ἐξήσκησεν.

P 6 48 εἰς τὸ σοφίαν δὲ τὸ δρέπων λάμβανε κατὰ συνεκδοχήν: Τίν τ ' ἐλέλιχθο ν .

P 6 50 καὶ σοί, φησίν, ὦ πόσειδον, ἐλέλιχθον, ἤγουν ὁ τὴν γῆν ἑλίσσων καὶ κινῶν, προσέρχεται καὶ ἀποδεκτὸς καὶ ἀρεστός ἐστι μάλα ἐν ἀρέσκοντι νῷ, ἤγουν ἀρεσκόμενος τῷ σῷ νῷ ἐν ταῖς ὁρμαῖς καὶ κινήσεσι ταῖς εἰς τὴν ἱππείαν εἴσοδον, τουτέστι κατὰ τὴν ἱππικήν, ἀπὸ μέρους. ὁ γὰρ ἐκ πρώτης ἀφετηρίας καὶ τῆς εἰσόδου τῆς κατὰ τὸν δρόμον ἀρίστην ὁρμὴν ἐπιδειξάμενος καὶ πᾶσι δόξας θαυμαστὸς δῆλον ὡς καὶ τὸν ὅλον δρόμον ἄριστα διανύσει καὶ θαυμαστὸς πλέον δόξει καὶ πᾶσιν ἀποδεκτός: Γλυκεῖα δὲ φρή ν . [5]

P 6 52 ἡ φρὴν δὲ καὶ ἡ γνῶσις αὐτοῦ ἀμείβεται καὶ ἐναλλάσσει ἤγουν νικᾷ τὸν τρητὸν καὶ ἐπίπονον πόνον τῶν μελισσῶν. ποταπὴ γλυκεῖα; καὶ ἐν ἄλλοις τισὶ καὶ ἐν τῷ ὁμιλεῖν τοῖς συμπόταις. ἤγουν τοσοῦτόν ἐστι γλυκὺς καὶ εὐόμιλος καὶ ἐν ἄλλοις πολλοῖς καὶ ἐν ταῖς ὁμιλίαις ταῖς πρὸς τοὺς οἰκείους, ὡς καὶ τὴν τοῦ μέλιτος ἀμείβειν καὶ ἐναλλάσσειν γλυκύτητα. οὕτω γὰρ ἡδύνει τοὺς ἀκούοντας, ὡς πικρὰν ἡγεῖσθαι τὴν τοῦ μέλιτος γεῦσιν πρὸς τὴν ἐκείνου τῶν λόγων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡδύτητα. τοῦτο δ’ ἔοικε τῷ ὁμηρικῷ, ὃ περὶ νέστορος ἐκεῖνος εἴρηκεν, εἰπών· τοῦ καὶ ἀπὸ γλώσσης γλυκίων μέλιτος ῥέεν αὐδή : [Pyth. [5]

P 7 t VII.] ἐκ τῶν παλαιῶν σχολίων.

P 7 prae 1 τὸ προοίμιον ἀπὸ τῆς πατρίδος τοῦ νικητοῦ. Γέγραπται ἡ ᾠδὴ μεγακλεῖ ἀθηναίῳ, ἀναφέροντι τὸ γένος εἰς ἀλκμαίωνα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φασιν ἐληλυθέναι πρὸς κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ περιβαλόμενον σκευὴν οἵαν βούλεται εἰσελθεῖν εἰς τὰ ταμιεῖα καὶ λαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρνους, οἵ εἰσιν ὑποδήματα διονυσιακά, καὶ κόλπωμα ποιήσας ἐν τοῖς ἐνδύμασιν ἐπεσώρευσεν ἐν τῷ κολπώματι πολὺν χρυσὸν καὶ ἐν τοῖς πλοκάμοις καὶ ἐν τοῖς ποσὶ καὶ ἐν τῷ στόματι. καὶ ἐξελθὼν διὰ τὸ βάρος βίᾳ ἐπορεύετο. διαχυθεὶς οὖν ὁ κροῖσος καὶ γέλωτι πλείστῳ ληφθεὶς ἐπί τε τῇ ὄψει καὶ τῷ ἀκορέστῳ τούτου καὶ ἕτερον αὐτῷ προσεδωρήσατο. διὰ τοῦτο ἐπιφανέστατος κατὰ τὴν ἀττικὴν γεγένηται, πλουσιώτατος ὤν. γεγόνασιν οὖν ἐξ αὐτοῦ οἱ ἐκλήθησαν ἀλκμαιωνίδαι, οἳ καὶ κατέλυσαν τὴν τῶν πεισιστρατιδῶν τυραννίδα: Αἱ ἀθῆναι, φησίν, ἡ μεγάλη πόλις καὶ κατὰ τἄλλα ἃ πρόσεστιν αὐτῇ ἀγαθὰ κάλλιστόν ἐστι, πρᾶγμα δηλονότι, καὶ βαλέσθαι καὶ ὑποθεῖναι αὐτὴν προοίμιον, κρηπῖδα λέγω καὶ βάθρον τῶν ᾠδῶν καὶ τῶν ὕμνων, τῇ γενεᾷ τῶν ἀλκμανιδῶν τῇ ἐρισθενεῖ καὶ μεγαλοδυνάμῳ ἐν τοῖς ἵπποις, τουτέστιν ἐν τῇ νίκῃ τῇ διὰ τῶν ἵππων· ἤγουν, κάλλιστόν ἐστι προοίμιον θεῖναι τοῦ ὕμνου τοῦ νῦν τὴν πατρίδα τοῦ νικητοῦ μεγίστην οὖσαν. [5]

P 7 4 ἐπεὶ ἐν ἑλλάδι ναίων καὶ οἰκῶν ἐγὼ αὐτός, τίνα πατρίδα καὶ οἶκον ὀνομάσω ἐπιφανέστερον ταύτης πυθέσθαι καὶ ἀκοῦσαι, ἢ ἀκοῦσαί τινα: Οἱ μέν φασιν, ὅτι διὰ τὸν ὕμνον καὶ τὴν νίκην ἐπιφανέστερον ἐποίησαν τὸν τοῦ ἀπόλλωνος ναὸν ὡς ἐνδόξου πόλεως ὄντες οἱ ἀλκμαιωνίδαι καὶ γένους περιφανοῦς.

P 7 9 οἱ δέ, παρὰ τὴν ἱστορίαν· φυγαδευθέντες γὰρ ὑπὸ τῶν πεισιστρατιδῶν τυραννησάντων, ηὔξαντο τῷ ἀπόλλωνι ἀνοικοδομῆσαι τὸν ἐν δελφοῖς αὐτοῦ ναόν, ἐμπρησθέντα πρότερον ὑπὸ πεισιστρατιδῶν, εἰ τούτων περιγένοιντο. συναγαγόντες οὖν δύναμιν καὶ ἐπιθέμενοι ἐνίκησαν τούτους καὶ ἀπελθόντες μετὰ πλείστων χαριστηρίων ἀνῳκοδόμησαν τῷ θεῷ καὶ θαυμαστὸν εἰργάσαντο, ὡς φιλόχορος ἱστορεῖ: Οὐ νενίκηκεν οὗτος ἐν ὀλυμπίᾳ, ἀλλὰ τῶν προγόνων τις αὐτοῦ ἴσως ὁμώνυμος. [5]

P 7 11 ἵνα δὲ τοῦτον λαμπρύνῃ, καὶ τὴν τῶν προγόνων νίκην τούτῳ προσάπτει: Τῇ μὲν νῦν εὐτυχηθείσῃ καὶ γεγονυίᾳ νίκῃ χαίρω, φησίν, ἄχνυμαι δέ τι καὶ λυποῦμαι κατὰ τόδε· τὸν φθόνον δηλονότι λυποῦμαι, ὃς ἐναλλάσσει καὶ μεταβάλλει καὶ τὰ καλὰ ἔργα, καὶ λύπην ἐπὶ τῇ χαρᾷ κομίζει.

P 7 17 ἔοικε δὲ τὴν τελευτὴν λέγειν ἱπποκράτους περὶ τοῦτον τὸν καιρὸν γενομένην, ὃς συγγενὴς ἦν μεγακλέους τοῦ νικητοῦ. εἰκὸς γὰρ ἦν ἀκούσαντα λυπηθῆναι ὡς συγγενῆ: Φαντί γε μά ν . [5]

P 7 20 φασὶ δὲ τὴν παρ’ ἀνδρὶ εὐδαιμονίαν θάλλουσαν οὕτω μονίμην, ἤγουν αὔξουσαν διηνεκῶς, φέρεσθαι ἂν καὶ ἔχειν καὶ τὰ καὶ τά, ἤγουν καὶ τὰ καλὰ καὶ τὰ φαῦλα· ἤτοι ἡ παρ’ ἀνδρὶ διηνεκὴς εὐδαιμονία ποτὲ μὲν χαράν, ποτὲ δὲ λύπην αὐτῷ φέρει. τοιοῦτόν ἐστι καὶ τὸ παρ’ ὁμήρῳ· τὸν περὶ μοῦς’ ἐφίλησε, δίδου δ’ ἀγαθόν τε κακόν τε· ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ’ ἡδεῖαν ἀοιδήν. ἐγὼ δὲ καὶ οὕτω τοῦτ’ εἴποιμ’ ἂν μικρὸν ἐναλλάξαν εἰ καὶ τολμηρόν, ὅτι τὴν παρ’ ἀνδρὶ εὐδαιμονίαν οὕτω φασὶ θάλλειν καὶ αὔξειν μόνιμον, ἤτοι διηνεκῶς, φέρουσαν τὰ καὶ τά, ἤγουν καὶ τὰ καλὰ καὶ τὰ λυπηρά. ἐπεὶ γὰρ αἱ εἰς ἄκρον εὐεξίαι σφαλεραί, καὶ ἐκ μεγίστης τις εὐδαιμονίας εἰς ἄκραν δυστυχίαν κατηνέχθη ἀθρόον, δῆλον ὡς ἡ ἀμφότερα ταῦτα φέρουσα εὐδαιμονία, λύπην φημὶ καὶ χαράν, διηνεκῶς ἂν παραμένειε τῷ ἔχοντι. ὅτι ἀληθές ἐστιν ὅ φημι, μάθοι τις ἂν τὰ περὶ τούτου ζητήσας: [Pyth. [10]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 8 t VIII.] ἐκ τῶν παλαιῶν σχολίων.

P 8 prae 1 τὸ προοίμιον εὐκτικόν. Γέγραπται ὁ ἐπινίκιος ἀριστομένει τῷ αἰγινήτῃ, νικήσαντι τὴν λε′ πυθιάδα. τὴν ἡσυχίαν δὲ προκαλεῖται διὰ τὸ νεωστὶ λελύσθαι τὰ περσικά.

P 8 1 δύναται δὲ λέγειν τοῦτο ἰδίως ὁ πίνδαρος ὡς εὐνομουμένων τῶν αἰγινητῶν καὶ ἐπαινεῖν τὴν ἡσυχίαν ὡς μεγίστην τῇ πόλει. οὔπω γὰρ ἦν ἂν ἐπελθοῦσα πανταχοῦ ἡ εἰρήνη, ἢ ἰδία τοῖς αἰγινήταις ἦν ἂν στάσις περὶ τὸν τῆς νίκης τοῦ ἀριστομένους καιρόν. διὸ καὶ οἰκείως τὴν ἡσυχίαν ἐπικαλεῖται, θυγατέρα λέγων δικαιοσύνης. δικαίως γὰρ πολιτευομένων καὶ εὐνομουμένων τῶν πόλεων καὶ εἰρήνη πᾶσα καὶ ἡσυχία καὶ ὁμόνοια πρόσεστιν, ὥσπερ ἐκ τῆς ἀδικίας στάσις καὶ θόρυβος. βουλῶν δὲ καὶ πολέμων ἔχειν λέγει τὰς κλεῖς ὑπερτάτας, ὅτι εἰρήνης οὔσης πρὸς ἀλλήλους μεγίστη τις ἀσφάλεια γίνεται πᾶσι καὶ τῶν βουλῶν τῶν ὑπὲρ αὐτῶν καὶ τῶν πολέμων τῶν πρὸς τοὺς ἔξωθεν. ἤγουν εἰρηνεύοντες πρὸς ἀλλήλους καὶ εἰς τὰ καθ’ ἑαυτοὺς ἄριστα βουλεύονται καὶ εἰς τοὺς ἔξωθεν ἐπιπίπτοντας πολέμους. τοῦτο δὲ βούλεται λέγειν, ὅτι εἰρηνεύσαντες, ὦ αἰγινῆται, πρὸς ἀλλήλους, δέξασθε τὸν ὕμνον τὸν εἰς τιμὴν τῆς νίκης γραφέντα τῷ ἀριστομένει. οἴδατε γὰρ καὶ πρὸς ἑτέρους τὸ μαλθακὰ πράττειν, ἤγουν οἴδατε καὶ ἑτέρους σκληρυνομένους μαλάττειν καὶ προσηνεῖς ἀπεργάζεσθαι, καὶ τοῦτο πάσχειν αὐτοί, ἤγουν καὶ αὐτοὶ μαλάττεσθαι καὶ ἐπιεικεῖς γίνεσθαι καὶ λήγειν τῆς στάσεως ἐν καιρῷ ἀληθεῖ καὶ πρέποντι, ὅτε χρὴ δηλονότι. πρὸς τὴν ἡσυχίαν δὲ τὸν λόγον ἀποδίδωσιν ὡς ἐμψύχῳ ταύτῃ διαλεγόμενος: Ἐάν τις, φησί, τῶν δυσμενῶν καὶ ἐχθρῶν ἐμβάλῃ ἐν τῇ καρδίᾳ αὐτοῦ ὀργὴν ἀμείλιχον καὶ ἰταμωτάτην, τουτέστιν ἐάν τις ταραχώδης καὶ ὑβριστής ἐστιν, ὑπαντιάξασα αὐτῷ σύ, ὦ ἡσυχία, τουτέστιν ὑπαντήσασα τραχεῖα, τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ, τουτέστι καταβαπτίζεις καὶ ἀφανίζεις ὡς ἐν ὕδατι τῇ ἀφανείᾳ, ἤγουν βαρέως ἐμπίπτεις καὶ ἀφανίζεις ἐν τῷ σῷ κράτει καὶ ἰσχύι: Τοῦτο εἶπεν, ὅτι ὁ πορφυρίων ἐπεχείρει βοῦς ἀποσπάσαι ἐκ τῶν δελφῶν, ἄκοντος τοῦ ἀπόλλωνος. [5]

P 8 17 διὸ καὶ βέλει τρωθεὶς ἀνῃρέθη ὑπ’ αὐτοῦ: Συλληπτικῶς τοῦτο εἶπεν οὐδὲ γὰρ ἀμφότεροι ὅ τε τυφὼς καὶ ὁ πορφυρίων ἐκεραυνώθησαν ἢ ὑπ’ ἀπόλλωνος ἐτοξεύθησαν, ἀλλ’ ὁ μὲν τυφὼς ἐκεραυνώθη ὑπὸ διός, ὁ δὲ πορφυρίων ἐτοξεύθη ὑπὸ τοῦ ἀπόλλωνος.

P 8 23 ὅπερ οὖν ἑκατέρῳ συμβέβηκε, κατ’ ἀμφοτέρων ἔφη: Τὸν ἀριστομένην λέγει· ἔστι γὰρ ξενάρκους υἱός.

P 8 26 διὸ καὶ τὸ χ τέθεικε, καὶ ὅτι κίρραθεν εἴρηκεν, οὗ γίνεται ὁ ἀγὼν ὁ ἱππικὸς ὑπὸ δελφῶν: Ἡ νῆσος ἡ δικαιόπολις καὶ δικαιοτάτη αἴγινα οὐ κεῖται μακρὰν τῶν χαρίτων, ψαύουσα τῶν αἰακιδῶν ἐν ἀρεταῖς κλειναῖς, ἤγουν μιμουμένη ἡ νῆσος τὰς ἀρετὰς τὰς ἐνδόξους τῶν αἰακιδῶν, οὐκ ἔξω τῶν χαρίτων ἐστίν, ἀλλ’ ἐγγὺς αὐτῶν κεῖται· ὥσπερ γὰρ ἐκεῖνοι μεγίστας ἀρετὰς καὶ χάριτας ἔχουσιν, οὕτω καὶ αὕτη τούτους μιμουμένη οὐ πόρρω χαρίτων καθίσταται: Ἢ ἐν πολλοῖς ἄθλοις καὶ ἀγῶσι νίκην φέρουσι καὶ ἐν μάχαις τελείαις ἐκθρεψαμένη μεγίστους ἥρωας ᾄδεται καὶ ὑμνεῖται. [5]

P 8 35 ἢ πολλοῖς ποιηταῖς ᾄδεται, ἤγουν ὑπὸ πολλῶν ποιητῶν ὑμνεῖται, ἔν τε τοῖς ἀγῶσι καὶ ἐν τοῖς πολέμοις ἀρίστους καὶ ἐξόχους ἐκθρεψαμένη ἥρωας. οὐ μόνον δὲ τοιούτους ἥρωας ἔθρεψεν, ἀλλὰ διαπρεπής ἐστι καὶ τὰ ἐν ἀνδράσι, τουτέστι καὶ ἄνδρας ἀρίστους ἔθρεψεν ἐν πᾶσι διαπρέποντας. Οὐκ ἔστι μοι, φησί, καιρὸς μακρηγορεῖν καὶ τὰ ἐγκώμια τῶν αἰγινητῶν καὶ τῶν αἰακιδῶν δοῦναι τῇ λύρᾳ καὶ τῷ ἡδεῖ φθέγματι, τουτέστιν ᾄδειν αὐτοὺς διὰ τῆς ᾠδῆς [καὶ] τῆς λύρας, μὴ προσκορὴς δόξω: Τὸ δὲ σὸν χρέος, ὦ παῖ, τὸ ἐν ποσί μοι, ἤγουν τὸ προκείμενον, ἴτω καὶ ἐλθέτω τρέχον πτηνὸν καὶ ταχύ, νεώτατον τῶν καλῶν ἐν τῇ ἐμῇ μηχανῇ καὶ οἰκονομίᾳ καὶ τέχνῃ, τουτέστιν ὃν προεθέμην εἰς σὲ ποιῆσαι ὕμνον, καὶ ταχὺς γενέσθω, καὶ νέον καλὸν ἐν τῇ ἐμῇ τέχνῃ. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 8 44 ὀφείλων δὲ εἰπεῖν καὶ ταχέως γενήσεται ὁ σὸς ὕμνος καὶ ἄριστος ὑπὸ τῆς ἐμῆς τέχνης, ὁ δὲ οὕτως ἐσχημάτισε τὸν λόγον ὡσανεὶ εὐχόμενος: Ἐν τοῖς παλαίσμασι, φησί, καὶ τοῖς ἀγῶσι μεταδιώκων καὶ ζηλῶν τοὺς πρὸς μητρὸς θείους σου, οὔτε τὸν ἐν ὀλυμπίᾳ νικήσαντα θεόγνητον καταισχύνεις οὔτε τὴν κλειτομάχου νίκην τὴν ἐν τῷ ἰσθμιακῷ ἀγῶνι, ἀλλ' ἄξιος εἶ ἀμφοτέρων καλεῖσθαι ἀνεψιὸς ὡς νικητὴς καὶ αὐτὸς γεγονώς: Τῶν μιδυλιδῶν, φησί, τὴν φατρίαν αὔξων, τὸν λόγον φέρεις ἐκεῖνον ὃν εἶπέ ποτε ὁ ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἑπταπύλοις θήβαις παραμένοντας ἐν τῷ πολέμῳ τοὺς υἱοὺς τῶν ἑπτὰ ἐπὶ θήβαις στρατευσάντων προτέρων ἀδράστου καὶ τῶν λοιπῶν. [5]

P 8 53 τί δὲ εἶπε φυᾷ τὸ γενναῖον ἐπιπρέπε ι ; ἤγουν σώζουσι τὴν τῶν πατέρων ἀρετήν. καὶ σὺ δέ, φησί, τοὺς μητραδέλφους ἐζήλωσας τῇ ἀθλήσει. πῶς δὲ εἶπεν; ἐπεὶ πρότερον κατεπόθη ζῶν. διὰ τοῦ γεγονότος, οἶμαι, αὐτῷ μαντείου ἐν θήβαις: Θειάομα ι . [5]

P 8 64 βλέπω, φησί, πρᾶγμα σαφές, τὸν ἀλκμαίωνα πρῶτον διεξάγοντα καὶ ἰθύνοντα ἐπὶ τῆς αἰθᾶς καὶ λαμπρᾶς ἀσπίδος, ἀπὸ τοῦ αἴθω τὸ λάμπ ω , ποικίλον δράκοντα ἐν τῇ πόλει τοῦ κάδμου. ἀπὸ μέρους δὲ τοῦτο λέγει. οὗτος δὲ ὁ ἀλκμαίων, ὃν οὗτος ἀλκμᾶνα λέγει, υἱὸς ἦν ἀμφιάρεω. εἶχε δὲ ἐπίσημον ἐν τῇ ἀσπίδι δράκοντα. ἢ ὡς ἐπιτήδειόν φασιν ὂν τὸ ζῶον πρὸς οἰωνίσματα· μάντις γὰρ ἦν ἀμφιάρεως. ἢ καθὸ ἦν ἀπὸ μελάμποδος, οὗ ἱστοροῦσι δύο δράκοντας διαλεῖξαι τὰς ἀκοὰς καὶ διατρῆσαι· διὸ ἐδόκει αἰσθάνεσθαι τῆς τῶν ἄλλων ζώων φωνῆς: νέμοντα γράφε διὰ τὸ μέτρον. [5]

P 8 66 [gl.] Ὁ καμὼν ἄδραστος, φησίν, ἐν τῇ προτέρᾳ συμφορᾷ, νῦν βελτίονος ἐνέχεται τύχης ἀγγελίᾳ.

P 8 68 οἴκοθεν δὲ ἐναντίως πράξει. πρότερον μὲν γάρ, τῶν ἄλλων ἀπολωλότων, μόνος αὐτὸς ἐσώθη· νῦν δέ, τῶν ἄλλων πάντων σωθέντων, ἀγγελία τις ἀφίξεται πρὸς αὐτόν, ὡς ὁ υἱὸς αὐτοῦ μόνος ἀπώλετο: Οἱ λέγοντες τοῦ στρατοῦ τῶν θηβαίων θανόντος οὐ καλῶς λέγουσιν, ἀλλ', ὡς ἐμοὶ δοκεῖ, οὕτω χρὴ λέγειν· μόνος δὲ ὁ ἄδραστος ἐκ τοῦ στρατοῦ τῶν δαναῶν ἀφίξεται καὶ ὑποστρέψει εἰς τὰς ἀγυιὰς τὰς εὐρυχώρους τοῦ ἄβαντος τοῦ πάππου αὐτοῦ, ἤτοι εἰς τὸ ἄργος, σὺν λαῷ ἀβλαβεῖ, συλλέξας τὰ ὀστᾶ τοῦ υἱοῦ αὐτοῦ θανόντος τύχῃ θεῶν, ἤγουν οἰκονομίᾳ· τοιαύτην γὰρ τὴν τύχην αὐτῷ ᾠκονόμησαν. [5]

P 8 74 ἄβας δὲ πατὴρ ἦν ταλαοῦ, τοῦ πατρὸς ἀδράστου. τύχῃ δὲ λέγει θεῶν, ἐπεὶ ἐκ θεοῦ ἐδόθη τοῖς ἀνθρώποις ἡ τύχη: Πρῶτον περὶ τοῦ ἀλκμᾶνος λέγων ὅτι στέφω αὐτὸν καὶ ῥαίνω ἐν ὕμνῳ, εἶτα διαμέσου θεὶς ὅτι γείτων ἐστὶν αὐτοῦ ἀμφιάραος καὶ τῶν κτημάτων αὐτοῦ φύλαξ, περὶ τοῦ ἀλκμᾶνος πάλιν φησὶ καὶ ὅτι ὑπήντησεν αὐτῷ ἐρχομένῳ εἰς τὴν πυθῶνα, τῷ πινδάρῳ, φημί, καὶ ὅτι ἐμαντεύσατο καὶ αὐτὸς ταῖς συγγενικαῖς καὶ προγονικαῖς τέχναις, εἰ χρὴ πορευθῆναι εἰς τὸν ἀγῶνα τοῦτον καὶ νικῆσαι· μάντις γὰρ ἦν ἐκ προγόνων. [5]

P 8 79 ἢ ὅτι εἰς πυθῶνα καὶ αὐτὸς ἀφίκετο μαντευσόμενος, καὶ ἐνέτυχον ἀλλήλοις. ὅτι δὲ τοῦτο οὕτω χρὴ λέγειν, δῆλον. οὐ γὰρ ὁ νικητὴς ἐν θήβαις ᾤκει, ἵν' εἴη γείτων πινδάρου, ἀλλ' ἐν αἰγίνῃ· οὐδ' αὖ ὁ ἀμφιάραος ὑπήντησεν αὐτῷ· πάλαι γὰρ ἐτεθνήκει: Σύ, φησίν, ὦ ἄπολλον, ἔδωκας αὐτῷ τῷ νικητῇ τὸ μέγιστον τῶν χαρμάτων, ἤτοι τὴν μεγίστην χαράν, τὸ νικῆσαι δηλονότι μεγίστην νίκην αὐτόθι ἐν τῇ πυθίᾳ.

P 8 88 πρόσθεν δὲ καὶ πρότερον ἔδωκας αὐτῷ δόσιν ἁρπαλέαν καὶ πάρεργον πεντάθλου οἴκοι, ἤγουν ἐν τῷ οἴκῳ αὐτοῦ, ἐν αἰγίνῃ· τουτέστιν, ἔδωκας νικῆσαι αὐτὸν πένταθλον ἐν αἰγίνῃ. καὶ ἐπήγαγες καὶ ἐπέφερες αὐτῷ ταύτην σὺν τῇ σῇ ἑορτῇ τῶν δελφινίων· ἑόρταζον γὰρ αὐτῷ ταῦτα οἱ ἐν αἰγίνῃ καὶ ἀγῶνάς τινας ἐπετέλουν: Κώμῳ μέ ν . [5]

P 8 99 τοῦτο καὶ ὡς ἀπὸ τοῦ χοροῦ δύναται λέγεσθαι καὶ ὡς ἀπὸ τοῦ ποιητοῦ. ἀπὸ μὲν τοῦ χοροῦ οὕτω· τῷ μὲν κώμῳ καὶ τῷ χορῷ ἡμῶν δικαιοσύνη παρέστηκε, τουτέστιν οὐ ψευδόμεθα οἷς λέγομεν περὶ ἀριστομένους. ἀπὸ δὲ τοῦ ποιητοῦ οὕτω· δικαίως ὁ ἀριστομένης κωμάζεται καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑμνεῖται· ἀγαθὸς γάρ ἐστι. τὴν δὲ τῶν θεῶν μεταταῦτα ἤγουν εἰς τὸ ἑξῆς ἐπιστροφὴν καὶ ἐπιτήρησιν αἰτῶ ἄφθιτον καὶ διηνεκῆ εἶναι ταῖς ὑμετέραις τύχαις, ὦ ξέναρκες. οὗτος δὲ πατὴρ ἦν τοῦ ἀριστομένους: Εἴ τις ἐσθλ ά .

P 8 103 εἴ τις, φησίν, ἄνευ πόνου ἀγαθόν τι ἐκτήσατο, τοῦτον πολλοὶ τῶν ἀφρόνων δοκοῦσι σοφὸν εἶναι καὶ ταῖς ἑαυτοῦ ὀρθοβούλοις μηχαναῖς καὶ ἐπιτεχνήμασι τοῦτο περιποιήσασθαι, ἐγὼ δέ φημι τοῦτο ἐν θεῷ εἶναι καὶ ἔστι τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως ταύτης: Ἐγὼ τὸ ὑπὸ μέτρῳ χειρῶν εἰρῆσθαί φημι, ἐπεὶ οἱ μὲν δέσποται ἀπολαύουσι τῶν πραγμάτων αὐτῶν ἀμέτρως καὶ καταχρῶνται ὡς βούλονται, οἱ δέ γε δοῦλοι καὶ αὐτὴν τροφὴν μέτρῳ παρ’ ἐκείνων κομίζονται.

P 8 110 τὸ ὑπὸ μέτρῳ δὲ ἀττικόν ἐστιν. οὕτω καὶ εὐριπίδης φησίν· οὐ τῶν θανόντων πριαμιδῶν ὑ π ’ ἰλί ῳ . τοιοῦτόν ἐστι καὶ τό· ὑπὸ τῷ μεγάλῳ πατρὶ σπαργανοῦνται : Ἀγῶνα καλεῖ ἐπιχώριον τῆς ἥρας, ὡς ἐμοὶ δοκεῖ, τὸν ἐν ἄργει· ἐκεῖ γὰρ ἐτελεῖτο ἀγὼν τῶν ἡραίων.

P 8 113 ἐπιχώριον δὲ αὐτὸν λέγει διὰ τὸ καλεῖσθαι τὴν ἥραν, ἀργείαν. Τοῖς οὔτε νόστο ς .

P 8 119 τούτοις, φησίν, ἡττηθεῖσιν οὔτε ἐν τῇ οἰκίᾳ αὐτῶν ὑποστροφὴ διεκρίθη καὶ ἐγένετο ἐν τῇ πυθιάδι ἤγουν ἐν τῷ ἀγῶνι τῷ ἐν αὐτῇ ἔπαλπνος καὶ ἡδεῖα καὶ προσηνής, οὐδὲ ἐλθόντων αὐτῶν εἰς τὴν πατρίδα καὶ τοὺς γονεῖς γέλως γλυκὺς ἐνέβαλε χάριν τὴν ἐκ τῆς νίκης, ἀλλὰ λύπη καὶ συμφορὰ γέγονεν αὐτοῖς διὰ τὴν ἧτταν. πτώσοντι δὲ καὶ φοβοῦνται κατὰ τὰς ὁδοὺς ἀπήοροι καὶ κεχωρισμένοι τῶν ἐχθρῶν, τουτέστιν αἰδούμενοι τοὺς ἐχθροὺς ἐκτρέπονται τὰς ὁδούς, δακνόμενοι τῇ συμφορᾷ ἤτοι τῇ ἥττῃ, ἵνα μὴ ὁρῶντες αὐτοὺς ἐκεῖνοι χαίρωσι· ταῖς γὰρ τῶν ἐχθρῶν συμφοραῖς εἰώθασιν οἱ ἐχθροὶ χαίρειν: Ὁ λαχών, φησί, καὶ κληρωσάμενος καὶ εὑρὼν καλόν τι νέον, ἤγουν νίκην νέαν, πέταται καὶ ὑψοῦται ἐπὶ ἁβρότητος μεγάλης ἐξ ἐλπίδος, τουτέστιν ἐλπίζει καὶ προσδοκᾷ ἐπιβήσεσθαι ἐπὶ μεγάλης εὐδαιμονίας, ἤγουν ἐλπίζε καὶ ἑτέρου τινὸς μείζονος τυχεῖν ἀγαθοῦ, ἐν τῇ ταχείᾳ αὐτοῦ ἀνδρείᾳ, ἤγουν διὰ τῆς ἀνδρείας αὐτοῦ, ἔχων καὶ τέρψιν καὶ εὐφροσύνην κρείττονα πλούτου.

P 8 126 πλέον γὰρ οὗτος εὐφραίνεται τῶν βαθεῖ πλούτῳ κομώντων. ὁ γὰρ ἐκ τῶν ἀγώνων τούτων στέφανος τιμιώτερος ἐδόκει μυρίων χρυσίων. τέρψιν δὲ πλούτοιο γράφε, ἵν’ οἰκεῖον ᾖ τῷ μέτρῳ.

P 8 130 εἰ γὰρ ἄλλως γράψεις, οὐκ οἰκείως ἔσῃ γεγραφώς: Ἐφήμεροι, φησίν, ἄνθρωποι· τί ἄν τις εἴποι ὅτι ἔστι τις ἢ ὅτι οὐκ ἔστι; ταχέως μὲν γὰρ ἔστιν εἰπεῖν ὅτι ἔστιν οὗτος, ταχέως δ’ ὅτι οὐκ ἔστιν οὐδείς, διὰ τὴν μετάπτωσιν τῶν πραγμάτων.

P 8 135 διατοῦτο καὶ ἐπιφέρει ὅτι σκιᾶς ὄναρ οἱ ἄνθρωποι, καλῶς τῇ ἐμφάσει χρώμενος, ὡς ἄν τις εἴποι τοῦ ἀσθενοῦς ἀσθενέστεροι. οὐ γὰρ οἷόν τε σκιᾶς ὄναρ εἶναι, ἀλλ’ ἀνθρώπου. διὸ καὶ σημειοῦται τὴν λέξιν τῷ χ . ὁμοίως καὶ τὸ διόσδοτον· θεόσδοτον γὰρ ὀφείλων εἰπεῖν, διόσδοτον εἶπεν· ὅθεν καὶ τὸ σημεῖον τίθησιν: Πρὸς τὴν ἡρωΐδα αἴγιναν τὸν λόγον μετέστρεψεν, ἀφ’ ἧς καὶ ἡ νῆσος ὀνομάζεται, λέγων· ὦ προσφιλεστάτη μῆτερ αἴγινα, τὴν ὁμώνυμόν σοι πόλιν φύλαττε καὶ περίεπε σὺν ἐλευθέρᾳ πορείᾳ, ἤγουν σὺν ἐλευθερίᾳ.

P 8 140 φύλαττε δὲ σὺν τῷ διῒ τῷ βασιλεύοντι πάντων καὶ τῷ αἰακῷ καὶ τοῖς ἐξ αὐτοῦ ἥρωσιν· ἐνταῦθα γὰρ κατῴκει αἰακός. ὅτι δὲ ὑπερβατῶς εἴρηκε τὴν συν, ἤγουν σὺν τῷ δί, διατοῦτο τέθεικε τὸχ : Οὐκ ἀγαθόν, ὡς εἰπεῖν, πηλεῖ τε καὶ ἀγαθῷ τελαμῶνι γράφειν, ἀλλὰ πηλεῖ κἀρίστῳ δὴ τελαμῶν ι .

P 8 143 οὕτω γὰρ ἔχει τὸ κῶλον οἰκείως πρὸς τὰ πρὸ αὐτοῦ: [Pyth.

P 9 t IX.] ἐκ τῶν παλαιῶν σχολίων: τὸ προοίμιον ἐκ τοῦ νικητοῦ: Γέγραπται ὁ ἐπινίκιος τελεσικράτει κυρηναίῳ ὁπλιτοδρόμῳ νικήσαντι τὴν κη′ πυθιάδα, τὴν δὲ λ′ σταδίῳ.

P 9 prae 1

τούτου δὲ ἀνάκειται ἐν δελφοῖς ἀνδριὰς ἔχων κράνος ἐκ προγόνων δέ ἐστι δρομεύς. ἀλεξίδαμον γάρ φησιν αὐτοῦ εἶναι πρόγονον λίβυν. λέγει οὖν· ἐθέλω τὸν πυθιονίκην τελεσικράτην ἐγκωμιάζων σὺν ταῖς βαθυζώνοις χάρισιν εἰπεῖν εὐδαιμονέστατον ἄνδρα, στέφανον καὶ δόξαν ὄντα τῆς ἱππικῆς κυρήνης.

P 9 1 ἢ καὶ στέφανον τῆς κυρήνης. εἶπε δὲ τοῦτο ἀσύνδετον: Ἀφεὶς τὴν πόλιν, ἐπὶ τὴν ἡρωΐδα κυρήνην τὸν λόγον μετάγει, ἧς ἡ πόλις ὁμώνυμος.

P 9 6 λέγει οὖν· ἥντινα κυρήνην ἥρπασέ ποτε ὁ ἀπόλλων ἐκ τοῦ πηλίου ὄρους, καὶ ἤνεγκεν ἐν χρυσῷ δίφρῳ τὴν ἀγροτέραν παρθένον ἐκεῖ, ἔνθα ἔθηκε καὶ ἐποίησε νῦν δέσποιναν τῆς πολυμήλου καὶ πολυκάρπου γῆς, ἤτοι τῆς κυρήνης, ὥστε οἰκεῖν τὴν τρίτην μοῖραν τῆς ἠπείρου, ἤγουν τὴν λιβύην τὴν εὐήρατον καὶ ἐπιθυμητὴν καὶ ἐπέραστον, θάλλουσαν, ἤτοι παντοίοις ἀγαθοῖς εὐθηνουμένην. λέγεται γάρ, εὐφορωτάτην εἶναι τὴν περὶ κυρήνην γῆν, ὡς ἐπὶ ὀκτὼ μῆνας φέρειν τοὺς καρπούς. ἁλωθεῖσα δέ ποτε ὑπὸ περσῶν, αὖθις ὑπ' ἀλεξάνδρου ἐκτίσθη καὶ πεντάπολις ἐπωνομάσθη. λέγονται δὲ οἱ κυρηναῖοι καὶ ἰατρικήν ποτε εὐτυχῆσαι: Τὸ χ τέθεικεν, ὅτι τὴν λιβύην τρίτην εἶπε ῥίζαν τῆς γῆς διὰ τὸ διαιρεῖν τὴν οἰκουμένην τινὰς εἰς ἀσίαν εὐρώπην καὶ λιβύην: Τὸ θάλλοισαν δύναται καὶ πρὸς τὴν λιβύην νοεῖσθαι καὶ πρὸς τὴν κυρήνην τὴν ἡρωΐδα: Ζητεῖται, διὰ τί ἐνταῦθα ἡ ἀφροδίτη εὑρίσκεται συμπροπέμπουσα τὸν ἀπόλλωνα καὶ ἐφαπτομένη τοῦ δίφρου. [5]

P 9 16 καί φαμεν, ὅτι ἢ διότι μετέρχεται τὰ γαμήλια ἔργα ἡ θεός, ἢ ὅτι, ὡς αὐτός φησι, κῆπος ἀφροδίτης ἡ λιβύη. ἴσως δὲ καὶ διὰ τὸ ἐπέραστον τῶν χωρίων. ξένον δὲ ἔφη τῇ κυρήνῃ τὸν ἀπόλλωνα διὰ τὸ νῦν πρώτως ἐπιδημῆσαι ἐπ' αὐτήν. ἄγουσι δὲ τὸν θεὸν ἐκεῖ διὰ τιμῆς: Ἐνέβαλε, φησίν, αὐτοῖς ἐρατὴν καὶ ἐπέραστον αἰδῶ ἐν ταῖς γλυκεραῖς εὐναῖς, τουτέστιν ἔρωτά τινα μετ' αἰδοῦς αὐτοῖς ἐνέβαλεν, ἁρμόζουσα καὶ ποιοῦσα καὶ τῷ θεῷ τῷ μιχθέντι καὶ τῇ κόρῃ τοῦ ὕψεως κοινὸν γάμον, ἤγουν συνάπτουσα αὐτοὺς κοινωνίᾳ γάμου: Ὑψέο ς . [5]

P 9 23 διὰ τὸ μέτρον. [gl.] Ὁ πίνδος ὄρος ἐστὶ τῆς περραιβίας, ἡ δὲ περραιβία τετράπολις τῆς θετταλίας.

P 9 27 τῆς κρεούσης δὲ νηΐδος καὶ πηνειοῦ ἱστορεῖ τὸν ὑψέα εἶναι: Ὁ ὑψεύς, φησί, τὴν κυρήνην ἀνεθρέψατο.

P 9 31 ἔσχε δὲ ταύτην τε ἐκ χλιδανώπης καὶ υἱὸν τὸν ἀλκαίαν: Ἡ κυρήνη, φησίν, οὔτε τὰς παλιμπορεύτους ἐφίλησε τῶν ἱστῶν ὁδούς, ἤγουν ἱστοὺς ὑφαίνειν οὐκ ἠγάπησεν, οὔτε τὰς τῶν δείπνων τέρψεις, ἃς ποιοῦνται πρὸς ἀλλήλας αἱ οἰκουροῦσαι γυναῖκες, φιλίας πρὸς ἀλλήλας κατασκευάζουσαι.

P 9 33 παλιμβάμους δὲ λέγει τὰς ὁδοὺς τῶν ἱστῶν, ὅτι αἱ πρώτως τὸν ἱστὸν ἱστῶσαι ὑφαντρίαι βαίνουσαί τε καὶ ἐρχόμεναι ἔμπροσθεν καὶ πάλιν εἰς τοὐπίσω ἀνακάμπτουσαι τοῦτον συνιστῶσιν. ἀπὸ μέρους δὲ τὴν ὅλην ὑφαντικὴν ἐδήλωσε. καὶ ὅμηρος· ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν: Τοῦτο βούλεται εἰπεῖν, ὡς, ἐπειδὴ πολὺν εἶχεν ἔρωτα τοῦ θηρᾶν, παῦρον καὶ ὀλίγον ἀναλίσκουσα ἦν τὸν σύγκοιτον καὶ ὁμόκοιτον αὐτῇ γλυκὺν ὕπνον, ῥέποντα καὶ ἐπερχόμενον ἐπὶ τοῖς βλεφάροις πρὸς ἠῶ, τουτέστι πρὸς ὄρθρον, ἤγουν τὸν ἑωθινὸν γλυκὺν ὕπνον ὀλίγον ὕπνωττεν, ὡς καὶ πρὶν διαλάμψαι τὴν ἡμέραν εὐθὺς πρὸς τὴν θήραν ἐξέρχεσθαι. [5]

P 9 42 τοσοῦτον αὐτῆς ὁ τῆς θήρας κατεκράτησεν ἔρως, ὡς καὶ τὸν γλυκὺν ὕπνον ὀλίγον προσίεσθαι: Κατέλαβε, φησί, ποτὲ ὁ εὐρυφαρέτρας ἀπόλλων ὁ ἑκάεργος αὐτὴν τὴν κυρήνην παλαίουσαν καὶ μαχομένην λέοντι ὀμβρίμῳ καὶ ἰσχυρῷ ἄνευ ἐγχέων ἤγουν δόρατος καὶ ξιφῶν, καὶ θαυμάσας ἐκάλει καὶ τὸν χείρωνα κένταυρον ἐξελθεῖν καὶ θαυμάσαι: Τοῦ μόχθου, φησί, καὶ καμάτου τοῦ πρὸς τὴν πάλην ὑπερτέραν ἔχει τὴν ἑαυτῆς ψυχήν, οἱονεὶ οὐ κάμνει πρὸς τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταπαλαῖσαι τὸν λέοντα, ἀλλ’ οὐδὲ φόβῳ ἐχειμάσθησαν αὐτῆς αἱ φρένες: Οὐχ ὡς ἀγνοῶν ἀπόλλων ταῦτά φησιν, ἀλλ’ ὡς θαυμάζων αὐτήν: Γεύεται ἀλκᾶς ἀντὶ τοῦ ἅπτεται ἀπείρου ἀνδρείας, οἷον ἰσχυρά ἐστι.

P 9 61 καὶ ὅμηρος· γευσόμεθ’ ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν: Ἆρα, φησίν, ὅσια καὶ ὅσιόν ἐστι προσενεγκεῖν αὐτῇ χεῖρα καὶ ἐκ τῆς κοίτης αὐτῆς ἡδεῖαν βοτάνην ἀποκεῖραι, ἀντὶ τοῦ δρέψασθαι τὴν παρθενίαν αὐτῆς.

P 9 61bis ὁ δὲ λόγος ἐρωτηματικός ἐστι παρ’ ἀπόλλωνος ἐν ἤθει λεγόμενος. τὸ δὲ χ σημεῖον τέθειται, ὅτι μεταφορικῶς εἴρηκε τὸ κεῖραι: Ὅσια δὲ τὰν χέρα γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον οἰκείως.

P 9 61ter τὸ δὲ κλειτὰν οὐ καλόν· χλιαρό ν .

P 9 66 ἀντὶ μιᾶς. [gl.] Τῆς περὶ τὰς γυναῖκας σοφῆς πειθοῦς, φησίν, ὦ ἄπολλον, κρυπταί εἰσι τῶν ἱερῶν συνουσιῶν αἱ κλεῖς· καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις ὁμοίως ἐστὶ τοῦτο· αἰδοῦνται γὰρ ἀμφότεροι φανερῶς περὶ ἀφροδισίων διαλέγεσθαι, τουτέστιν· οὐκ ἔθος ἐστὶν οὔτε θεοῖς οὔτ’ ἀνθρώποις ἀναπτύσσειν καὶ φανεροῦν διὰ πειθοῦς τὰ περὶ συνουσίας, ἀλλὰ κρύπτειν, ὡς ἐν κλεισί τισιν ἀσφαλιζομένους: Αἰδοῦνται, φησίν, ἀμφότεροι φανερῶς τυχεῖν τῆς εὐνῆς τῆς ἡδείας πρῶτον, τουτέστι τὸ τυχεῖν τῆς εὐνῆς πρῶτον φανερῶς αἰδοῦνται. [5]

P 9 73 καὶ διὰ τοῦτο κρύπτουσι τὰ περὶ τούτου, ἵνα μὴ φανερὸν ἐκ πρώτης ἐπιχειρήσεως τὸ πρᾶγμα γένηται· εἰ γὰρ καὶ μεταταῦτα φανεροῦται, ἀλλὰ ἐν ἀρχῇ τοῦτο κρύπτειν σπουδάζουσιν: Ὁ λόγος ἠθικός· ἐμὲ ἐρωτᾷς, ὦ δέσποτα ἄπολλον, πόθεν τῆς κυρήνης ἡ γενεὰ καὶ τίνες οἱ γονεῖς; ὅστις πάντων τῶν κατὰ τὸν βίον τὸ κύριον τέλος οἶδας καὶ πάσας τὰς ὁδοὺς καὶ ὅσα ἐν τῇ ὕλῃ φύλλα ἀναφύει ἡ γῆ ἐν ἔαρι καὶ ὅσην ψάμαθον οἱ ἄνεμοι ταράσσουσιν: Ὅ τις χρὴ γράφειν, ἵν’ οἰκεῖον ᾖ τῷ μέτρῳ.

P 9 80 τὸ σημεῖον δέ, οἶμαι, χ τέθειται, ἐπεὶ τὸ τέλος μόνον πάντων εἶπεν αὐτὸν εἰδέναι καὶ οὐχὶ καὶ τὴν ἀρχήν, πλὴν ἀπὸ τούτου κἀκεῖνο νοεῖν ἔδωκεν. ὁ γὰρ τὸ τέλος τινὸς εἰδώς, εὔδηλον ὅτι καὶ τὴν ἀρχὴν ἐπίσταται: Σὺ πάντα, φησίν, ἐπίστασαι καὶ ὡς θεὸς προγινώσκεις τὸ μέλλον καὶ ὅπως ἄρα ἔσεται.

P 9 80bis εἰ δὲ χρὴ κἀμὲ ἀντιφερίζειν ἤγουν ἐξισοῦσθαι σοὶ καὶ προλέγειν τὰ μέλλοντα, ἐρῶ. ἢ τὸ ἀντιφερίζειν ἀντὶ τοῦ ἐναντίον σου ἤγουν ἐνώπιόν σου φέρεσθαι καὶ κατατολμᾶν λέγειν τι: Ταύτῃ, φησίν, ἀφίκου πόσις εἰς τήνδε τὴν βῆσσαν, ἤγουν τὸ ὄρος.

P 9 89 ἢ ἵκεο καὶ ἐλθέ. καὶ μέλλεις ἐνεγκεῖν καὶ κομίσαι αὐτὴν διὰ τοῦ πόντου. τοῦτο γὰρ δηλοῖ τὸ ὑπὲρ πόντο υ , πρὸς τὸν ἔξοχον κῆπον τοῦ διός, ἤγουν τὴν λιβύην. διὸς δὲ κῆπον λέγει τὴν λιβύην διὰ τὸ πλησιάζειν τῇ αἰγύπτῳ, ἣν διὸς τέμενος οἱ ποιηταί φασιν. ἢ διὰ τὸ τὸν ἄμμωνα δία νομίζεσθαι. φησὶ γάρ· ἄμμω ν , ὀλύμπου δέσποτ α , καὶ πάλιν διὸς ἐν ἄμμωνος θεμέθλοι ς . ἄμμωνι γὰρ ἡ λιβύη ἀνάκειται: Οὐ χρὴ γράφειν ὑπερποντίου διός · οὐ γὰρ οἰκεῖόν ἐστι τῷ μέτρῳ· ἀλλὰ ὑπὲρ πόντο υ , ἤγουν ὑπεράνω τοῦ πόντου. [5]

P 9 90 οὕτω γὰρ καὶ πρὸς τὴν σύνταξιν ἄριστ’ ἂν ἔχοι, καὶ πρὸς τὸν τοῦ μέτρου ῥυθμόν: Ἀποικία ἐστὶν ἡ κυρήνη νησιωτῶν τινων θηραίων τῶν ἐκ λακεδαίμονος μετοικησάντων.

P 9 93 θήρας γὰρ ἐκεῖνος ὁ στείλας εἰς αὐτὴν ἀποικίαν, λάκων ἀνέκαθεν ἦν. ἡ περὶ τούτων δὲ ἱστορία εἴρηται ἔνθα τὰ περὶ ἰάσονος διηγεῖται καὶ μηδείας: Ταύτην, φησίν, ὑποδέξεται ἡ λιβύη ἐκεῖ ὅπου μέρος τῆς ἰδίας γῆς δωρήσεται ἔννομον, οὔτε φυτῶν ἀπεστερημένον οὔτε ἔξω κυνηγεσίων, ὥστε συντελεῖν αὐτῷ εἰς τὴν θήραν καὶ εἰς πᾶν ὃ βούλεται ἕτερον: Ἐν τῇ λιβύῃ, φησίν, ἡ κυρήνη τέξεται παῖδα, τουτέστι τὸν ἀρισταῖον, ὃν ὁ ἑρμῆς ἀνελὼν καὶ λαβὼν ἀπὸ τῆς μητρὸς οἴσει καὶ κομίσει καὶ δώσει ταῖς ὥραις καὶ τῇ γῇ τρέφειν.

P 9 104

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δώσει δὲ αὐτὸν τῇ γῇ ὡς προμάμμῃ. ἡ κρέουσα γὰρ ἡ ὠκεανίς, γῆς παῖς οὖσα, ἔτεκε τὸν ὑψέα τὸν πατέρα κυρήνης, ἧς ὁ ἀρισταῖος: θεῖσαι ἐν ἑαυταῖς.

P 9 108 οὕτω τὸ αὐταῖς σύντασσε. [gl.] Φασὶν ὡς πρὸ τοῦ γενέσθαι ἀρισταῖον τὰ πρόβατα οὐκ εἶχεν ὀπάονας, ἤτοι ἀκολούθους καὶ φύλακας.

P 9 114 τοῦτον δὲ διὰ τὸ κτηνοτροφίαν καὶ κυνηγεσίαν εὑρηκέναι ἀγρέα καὶ νόμιον ὠνόμαζον. φαίνεται δὲ ὅτι καὶ τὴν ἐλαιουργίαν καὶ μελιτουργίαν πρῶτος ἐπενόησεν ἀρισταῖος. τοῦτον καὶ τοῦ μέλιτος εὑρετὴν εἶναι λέγουσιν, ὃ δὴ τῆς ἀθανασίας δέκατον εἶδος ᾠήθησαν εἶναι: Εἰπὼν ὅτι οἱ θεοὶ πάντα ἀνύουσι ταχέως ἃ βούλονται πρᾶξαι καὶ ὁδοὺς ἔχουσι βραχείας, ἐπήγαγεν ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καθ’ ἣν ὁ χείρων αὐτῷ διελέγετο, καὶ εἰς λιβύην αὐτὴν ἤγαγε, τὴν κυρήνην δηλονότι, καὶ συνῆλθεν αὐτῇ, τῆς τε ὁδοῦ τὸ τάχος καὶ τῆς πράξεως διὰ τούτων ἀμφοτέρων δηλώσας: ὠκεῖα δὲ πρᾶξις γράφε, ἵνα τοῖς πρὸ αὐτῶν κώλοις οἰκείως ἔχῃ τὰ κῶλα ταῦτα. [5]

P 9 119bis οἱ γὰρ πρὸς τὸ ὁδοὶ ὠκεῖαι γράφοντες πράξεις ἀγνοοῦσι τὰ μέτρα: Ἱμερτὴν δόξαν τὴν ἐκ τῆς νίκης λέγει τιμήν.

P 9 132 πάντες γὰρ ἐπεθύμουν νικηταὶ ἐν τοῖς ἀγῶσι τούτοις γενέσθαι καὶ στεφανωθῆναι. τὸν γὰρ ἐκ σελίνων ἢ ἐλαίας στέφανον μυρίων χρυσίων καὶ λίθων τιμιώτερον ἦγον, καὶ σπουδὴ πᾶσιν ἦν γυμνάζεσθαι, ὥστ’ ἀρίστους γεγονότας μὴ διαμαρτεῖν τῆς νίκης καὶ τῶν ἐπὶ ταύτῃ λαμπρῶν στεφάνων: Οἱ μέν φασιν, ὅτι ἰόλαος τεθνηκώς, ἐπειδὴ ἔμαθεν εὐρυσθέα ἐξαιτούμενον παρ’ ἀθηναίων τοὺς ἡρακλείδας καὶ ἀπειλοῦντα πόλεμον εἰ μὴ δώσουσιν, ηὔξατο ἀναβιῶναι, καὶ ἀναβιοὺς ἀπέκτεινε τὸν εὐρυσθέα, συνταχθεὶς τοῖς περὶ τὸν ὕλλον καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμών, καὶ πάλιν τέθνηκεν. [5]

P 9 137 οἱ δὲ πρὸς τὸ πιθανώτερον ἕλκουσι τὴν ἱστορίαν, ὅτι γέρων ὢν ηὔξατο ἀνηβῆσαι καὶ τελέσας τὸν ἆθλον εὐθέως ἐτελεύτησεν: Ἐκ τοῦ πρήθω τὸ καίω τὸ ἔπραθον γίνεται. [5]

P 9 141 ἐπακολουθεῖ γὰρ τοῖς φονευθεῖσι καὶ τῷ θανάτῳ προσομιλήσασι τὸ καυθῆναι κατὰ τὸ σύνηθες: Ἀμφιτρύωνα προσκαλεσάμενος ὁ ἠλεκτρυὼν εἰς βοήθειαν, ὅτε ὁ πρὸς ταφίους ἦν αὐτῷ πόλεμος, τὴν αὐτοῦ θυγατέρα ἀλκμήνην τούτῳ κατεγγυᾶται.

P 9 145 ὁ δὲ κατά τινα τύχην [ἄκων] αὐτὸν ἀπέκτεινε, καὶ τὰς μυκήνας ἀφεὶς εἰς θήβας φυγὼν μετῴκησεν: Ἡ ἀλκμήνη, φησί, μιγεῖσα τῷ διῒ καὶ τῷ ἀμφιτρύωνι, ἔτεκεν ἐν μιᾷ ὠδῖνι, ἤτοι ἐν ἑνὶ τόκῳ, σθένος διδύμων υἱῶν κρατησίμαχον, ἤγουν πολεμικωτάτην δύναμιν, ἤτοι ἰσχυροτάτους υἱούς: Τὸ κωφὸς εἶπεν, ἐπειδὴ ὁ μὴ ἀκηκοὼς περὶ τῶν προσόντων τινὶ καλῶν οὐδὲ εἰπεῖν τι περὶ τούτου δύναται καὶ ἐπαινέσαι αὐτόν.

P 9 154 ἐπιμέμναται δὲ γράφε, μὴ ἀεὶ μέμνατα ι . οὕτω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς, οὐκ ἐκείνως: Ὁ λόγος ἔοικε παρὰ τοῦ ὑμνουμένου λέγεσθαι πρὸς τὸν ἡρακλέα καὶ ἰφικλέα.

P 9 156 φησὶ γάρ· παθὼν ἐσθλόν τι καὶ ἀγαθὸν τέλειον καὶ πληρέστατον ἐπ’ εὐχῇ, ἤγουν κατ’ εὐχὴν ἐμήν, κωμάσομαι τούτους, ἤτοι ὕμνον προσάξω. ἢ κωμάσομαι λέγε τέλειον ἐν τούτοις, ἤγουν τελέως τούτους ὑμνήσω. θέλει δὲ εἰπεῖν ὅτι τετυχηκὼς τῆς νίκης τῶν ἡρακλείων, κἀγὼ ἀντικωμάσομαι καὶ ὑμνήσω αὐτόν. νενίκηκε δὲ ἴσως καὶ τὰ ἰολάεια, καὶ διὰ τοῦτο κἀκείνου ἐμνημόνευσεν: Εὔχεται ὁ ποιητὴς καὶ μετὰ χάριτός τινος γράφειν, ἤτοι χάριν τινὰ καὶ ἡδονὴν ἔχειν τὰ αὐτοῦ ποιήματα, ὡς πᾶσιν εἶναι ἐπέραστα καὶ πᾶσι γενέσθαι φανερά, ὥστε μὴ διαφθαρέντα λήθῃ παραδοθῆναι. [5]

P 9 158 διὰ τοῦτο γὰρ καὶ τὸ κελαδεννὸν ἐπίθετον ἐπέθηκε ταῖς χάρισιν, ὥστε ἐξηχηθῆναι παρ’ αὐτῶν ταῦτα ἐν ἅπασι καὶ μὴ σιγῇ καλυφθῆναι. καὶ τὸ καθαρὸν εἴληπται αὐτῷ φέγγος, ὥστε δῆλα γενέσθαι καὶ μὴ ἀφανείᾳ τινὶ καλυφθῆναι καὶ σκότῳ: πόλιν τάν δ’ . [5]

P 9 162

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν κυρήνην. [gl.] Ἀμήχανον εἶπε τὴν σιωπήν, ἐπειδὴ οἱ νικηθέντες σιωπῇ καὶ ἀπορίᾳ κατέχονται ἀμηχανοῦντες.

P 9 163 τί δήποτε πρὸς τοὺς ἐρωτῶντας ἂν εἴποιεν, ὅτου χάριν ἡττήθησαν; καὶ ἑτέρωθί πού φησι· νικώμενοι δ ’ ἀγρυξίᾳ δέδενται : Οὕνεκεν εἰ φίλος · διατοῦτο, φησίν, εἴ τις τῶν ἀστῶν καὶ τῶν πολιτῶν ὑπάρχει φίλος αὐτῷ, εἴ τις ἀντάεις καὶ ἐναντίος ἤτοι ἐχθρός, μὴ κρυπτέτω καὶ καλυπτέτω ἐν σιωπῇ ἀλλ’ ἐπαινείτω καὶ κηρυττέτω αὐτόν, μὴ βλάπτων καὶ ἀθετῶν καὶ ἀτιμάζων τὸν λόγον τοῦ ἁλίου γέροντος, ἤτοι τοῦ νηρέως τοῦ θαλασσίου θεοῦ.

P 9 164 ἐκεῖνος γὰρ ἔννεπε καὶ ἔλεγεν αἰνεῖν καὶ ἐπαινεῖν οὐ μόνον τὸν φίλον δηλονότι ἀλλὰ καὶ τὸν ἐχθρὸν καλὰ ῥέζοντα καὶ πράττοντα. ἐπαινεῖν δὲ οὐχ ἁπλῶς, ἤτοι ῥᾳθύμως καὶ ἀφελῶς, ἀλλὰ σὺν παντὶ θυμῷ καὶ προθυμίᾳ πάσῃ, καὶ δίκῃ ἤτοι δικαιοσύνῃ. δίκαιον γάρ ἐστι πάντα τὸν καλόν τι πράττοντα ἐπαινεῖν, κἂν ἐχθρὸς εἴη: Πλεῖστα νικήσαντ α . [5]

P 9 172 καὶ σέ, φησίν, ὦ τελεσίκρατες, εἶδον νικήσαντα πλεῖστα ἤγουν πολλάκις ἐν ταῖς ὡρίαις τελεταῖς τῆς παλλάδος, ἤτοι ἐν ταῖς κατὰ καιρὸν ὡρισμένον γινομέναις ἑορταῖς αὐτῆς, ἤτοι εἰς τὰ παναθήναια, καὶ ὡς καὶ ὅτι ηὔχοντο αἱ παρθενικαί, ἤγουν αἱ παρθένοι, ἄφωνοι, τουτέστιν ἄνευ φωνῆς ἤτοι καθ’ ἑαυτάς, οὐ γὰρ ἐξηκούετο αὐτῶν ἡ φωνή, ἑκάστη λέγω ηὔχετο, ἔμμεν καὶ εἶναί σε πόσιν καὶ ἄνδρα αὐτῆς ἢ υἱόν. οὐ μόνον δὲ ἐν τοῖς παναθηναίοις ὁρῶσαί σε αἱ γυναῖκες νικῶντα ταῦτα ηὔχοντο, ἀλλὰ καὶ ἐν ὀλυμπίοις καὶ ἐν τοῖς ἄλλοις ἀγῶσι τῆς βαθυκόλπου καὶ πλατείας γῆς, καὶ ἐν πᾶσιν ἁπλῶς ταῖς ἐν ἑκάστῃ πόλει ἐπιχωρίοις ἀγῶσιν. εἰπὼν δὲ ἢ υἱό ν , ἔδωκε νοεῖν, ὡς οὐ μόνον αἱ παρθένοι ηὔχοντο εἶναι αὐτῶν ἄνδρα τὸν τελεσικράτην, ἀλλὰ καὶ αἱ λοιπαὶ γυναῖκες αἱ ἄνδρας ἔχουσαι ηὔχοντο εἶναι τοῦτον υἱὸν αὐτῶν. οὐ γὰρ αἱ παρθένοι ηὔχοντο τοῦτον εἶναι αὐταῖς υἱόν, μήπω πεῖραν ἐσχηκυῖαι ἀνδρῶν: Εἴ σοι δοκεῖ καλῶς ἔχειν τὴν σύνταξιν ἣν εἴπομεν, ἔστω ταῦθ’ οὕτως· εἰ δὲ βούλει, σύναπτε τὰ παρόντα ἔπη τοῖς ἄνω, οὕτως· εἶδόν σε νικήσαντα πλεῖστα ἐν ταῖς ὡρίαις τελεταῖς τῆς παλλάδος καὶ ἐν ὀλυμπίοις καὶ ἐν τοῖς ἄθλοις τῆς βαθυκόλπου γῆς καὶ ἐν πᾶσιν ἐπιχωρίοις καὶ ὅτι ηὔχοντο αἱ παρθένοι ἄφωνοι ἑκάστη, εἶναί σε πόσιν φίλτατον αὐτῆς, ἢ υἱόν: Ἐμέ, φησίν, ἀκειόμενον καὶ θεραπεύοντα τὴν δίψαν τῶν ᾠδῶν τις πράσσει καὶ ἀπαιτεῖ ἕτερον χρέος, ἐγεῖραι καὶ ἀνυψῶσαι καὶ ἀνακαλέσασθαι πάλιν καὶ τὴν δόξαν τῶν παλαιῶν σῶν προγόνων, τουτέστιν, ἐπεὶ αἱ ᾠδαὶ τρόπον δή τινα δίψαν εἶχον ἀνυμνῆσαί σε τὸν νικητὴν καὶ ἤδη θεραπείαν ἔσχον τῆς δίψης ὑπ’ ἐμοῦ, ἐξείργασται γάρ μοι ὁ περί σου ὕμνος, τίς ἀπαιτεῖ με καὶ τῶν σῶν μνησθῆναι προγόνων καὶ τὴν ἐκείνων δόξαν αὖθις ἀνακαλέσασθαι; ὤφελε γοῦν εἰπεῖν, οὐδείς, ἀλλ’ ἐγὼ ἑκὼν τούτων ἐπιμνησθήσομαι· ὁ δέ, τοῦτ’ ἀφείς, εὐθὺς τὰ περὶ ἐκείνων διηγεῖται. [5]

P 9 179 καὶ οὕτω μὲν τὸ τις ἀορίστως νοεῖται· εἰ δὲ βούλει, καὶ ὡρισμένως τοῦτ’ εἰπέ, οὕτως· ἐμὲ δὲ ἀκειόμενον καὶ θεραπεύοντα τὴν δίψαν τῶν ᾠδῶν ἀπαιτεῖ τις χρέος, ἐγεῖραι πάλιν τὴν δόξαν τῶν σῶν προγόνων, ὡς ἂν εἰ ἔλεγέ τις τῶν προσηκόντων ἐκείνοις, ἣ χάρις τις ἣν ἔσχον ἐξ ἐκείνων: ἐς πόλιν γράφε διὰ τὸ μέτρον. [10]

P 9 185 [gl.] Ἴρασα πόλις λιβύης, ἣν ᾤκει ἀνταῖος, οὐχ ὁ ὑπὸ ἡρακλέους ἀναιρεθείς· ἐκεῖνος γὰρ διαλλάσσει τῷ χρόνῳ· ἀλλ’ ἕτερος, ὃς τὴν θυγατέρα ἀλκηΐδα τοῖς μνηστευομένοις προὔθηκεν ἆθλον δρόμου τῷ φθάσαντι λαβεῖν κελεύσας, ὅμοιόν τι ποιήσας τῷ δαναῷ· κἀκεῖνος γὰρ τὰς θυγατέρας εἰς δρόμον προὔθηκε.

P 9 185bis τὴν δὲ κόρην ταύτην τῶν τελεσικράτους τις πρόγονος ἀλεξίδαμος μνηστευσάμενος καὶ νικήσας τὸν δρόμον ἔγημεν: Ἡ σύνταξις· οἷοι καὶ ὁποῖοι ἔβαν καὶ ἦλθον εἰς τὴν ἴρασαν πόλιν τοῦ ἀνταίου περὶ τῆς γυναικὸς τῆς λιβύσσης, μνηστῆρες λέγω, ἔβησαν εἰς τὴν καλλίκομον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κόρην τὴν ἀγακλέα καὶ ἔνδοξον πάνυ, ἥντινα πολλοὶ λίαν ἀριστῆες ἄνδρες σύγγονοι καὶ συγγενεῖς ᾔτουν λαβεῖν καὶ πολλοὶ ξένοι, ἐπεὶ θαυμαστὸν εἶχεν εἶδος. [5]

P 9 183 τὸ οἶοι δὲ ὅμοιόν ἐστι τῷ παρ’ αἰσχύλῳ· οἷος ἀμίστρης ἠ δ ’ ἀρταφρένη ς . εὑρήσεις δὲ τὸν λόγον ἐκεῖ: Ἄλλως ἀρξάμενος, ἄλλως τὸν λόγον ἐσχημάτισεν. [5]

P 9 194 εἰπὼν γὰρ ὁ πατὴρ δὲ ἤγουν ὁ ἀνταῖος φυτεύων καὶ κατασκευάζων τῇ θυγατρὶ τὸν γάμον κλεινότερον καὶ ἐνδοξότερον, τὸ καὶ τὸ πεποίηκεν, ὁ δέ, σχηματίσας τὸν λόγον, προτίθησι τὸ παράδειγμα τὸ περὶ τῶν παίδων τοῦ δαναοῦ, εἶτα ἐπάγει καὶ ὅτι οὕτω καὶ οὗτος πεποίηκεν ἐπὶ τῇ αὐτοῦ θυγατρί: Ζητεῖται, διατί, πεντήκοντα οὐσῶν τῶν θυγατέρων δαναοῦ, μη οὗτος εἶπε. [5]

P 9 200 καὶ ῥητέον ὅτι ἀμυμώνη μὲν προδιαφθαρεῖσα ἦν ποσειδῶνι, ὑπερμνήστρα δὲ ἐρασθεῖσα λυγκέως οὐκ ἀπέκτεινε τοῦτον. αἱ δὲ ἄλλαι, πεισθεῖσαι τῷ πατρῴῳ βουλήματι, ἀνεῖλον τοὺς αἰγύπτου παῖδας: Ἔστησεν αὐτήν, φησί, πρὸς τῇ ἐσχάτῃ γραμμῇ τοῦ δρόμου, τοῦτο ἄκρον καὶ τέλος εἶναι διαταξάμενος.

P 9 200bis [5] ἐχάρασσον δὲ γραμμήν τινα, ἣν ἀρχὴν καὶ τέλος εἶχον οἱ ἀγωνιζόμενοι. ὅθεν καὶ παροιμία· μὴ κίνει γραμμήν. ἐν μέσοις δὲ αὐτῶν εἶπεν, ὅτι, ὃς ἂν πρῶτος πηδήσας τῶν πέπλων αὐτῆς ἐφάψηται, ἐκεῖνος αὐτὴν ἀπαγέσθω: Τὸ ἔφυγεν οὐ κυρίως εἴρηται· οὐ γὰρ ἐδίωκέ τις αὐτόν.

P 9 215 ἀλλὰ τὸ τάχος βούλεται παραστῆσαι, παρόσον οἱ διωκόμενοι ἐπιτείνουσι τὸν δρόμον: ἤγουν ἐπ’ αὐτὸν ἔρριπτον φύλλα καὶ ἄνθη καὶ στεφάνους ἐκ τῶν κλάδων.

P 9 218 [gl.] —πρότερον—ἤγουν πολλοὺς καὶ ἄλλους ἀγῶνας ἐνίκησεν.

P 9 220 [gl.] Διὰ τὸ ταχὺ τῆς νίκης καὶ ὅτι δρόμου ἦν ἡ νίκη, ἐν ᾧ περὶ ταχυτῆτος ποδῶν ἀγωνίζονται, πολλὰ πτερὰ νίκης καὶ πρότερον αὐτὸν λέγει δέξασθαι, ἤγουν πολλοὺς καὶ ἄλλους ἀγῶνας νικῆσαι.

P 9 200bis πτερὰ δὲ νίκης περιφραστικῶς ἡ νίκη, ἐπεὶ οἷον ἐπτερωμένους τοὺς νικητὰς καὶ ἐπηρμένους ποιεῖ: [Pyth.

P 10 t X.] ἐκ τῶν παλαιῶν σχολίων.

P 10 prae 8 τὸ προοίμιον ἀπὸ τῆς πατρίδος τοῦ νικητοῦ: Ἦν μὲν τὸ γένος ὁ προκείμενος νικηφόρος θεσσαλός, πόλεως δὲ πελιναίου. ἐνίκησε δὲ τὴν κη ′ πυθιάδα, ἐνίκησε δὲ καὶ τὴν οβ ′ καὶ ογ ′ ὀλυμπιάδα. τὴν δὲ λακεδαίμονα νῦν παρέλαβεν, ὡς αὐτὸς δηλοῖ, ὅτι ἀμφότερα τὰ ἔθνη ὑπὸ τῶν ἡρακλειδῶν ἐβασιλεύοντο. ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ ἐνίκησε καὶ στάδιον, οὗ οὐκ ἐμνήσθη, ἴσως τοῦ διαύλου μόνον μισθὸν λαβών. φησὶ γοῦν· ὦ ὀλβία καὶ εὐδαιμονεστάτη λακεδαῖμον καὶ ὦ μακαρία θεσσαλία· ἐν γὰρ ἀμφοτέραις ἐξ ἑνὸς πατρὸς τοῦ γενναίου ἡρακλέους τὸ γένος βασιλεύει. τί κομπῶ καὶ πολυλογῶ παρὰ καιρόν; Ἀλεύα τε παῖδε ς . [5]

P 10 8 ἢ καθόλου οἱ θετταλοὶ ἀπὸ ἀλεύα τοῦ βασιλεύοντος αὐτῶν, ὡς καὶ σισυφίδαι οἱ κορίνθιοι ἀπὸ σισύφου. ἢ ἀλεύα παῖδες οἱ ὄντες ἑταῖροι τῷ ἱπποκλεῖ. λέγει δὲ ὅτι ἡ πυθὼ καὶ τὸ πελιναῖον καὶ τοῦ ἀλεύα οἱ παῖδες προσκαλοῦνταί με ὑμνῆσαι τὸν νικητήν, θέλοντες ἀγαγεῖν καὶ κομίσαι τῷ ἱπποκλεῖ τὴν ἐγκωμιαστικὴν τῶν χορευτῶν φωνήν, ἥτις ἔνδοξον τοῦτον ποιήσει καὶ ἐξάκουστον. γεύεται γάρ, φησί, τῶν ἄθλων, τουτέστι, νῦν πρῶτον εἰς τὸν ἀγῶνα εἰσῆλθε καὶ ἐν τῷ στρατῷ τῶν ἀμφικτυόνων καὶ περιοίκων ὁ παρνάσσιος μυχὸς ἤτοι ἡ πυθὼ ὕπατον καὶ ἔξοχον αὐτὸν τῶν διαυλοδρόμων παίδων ἀνηγόρευσεν: ἰδίως τοῦτο λέγει, καὶ ἐπιφωνεῖ τὸν θεὸν ὡς ἔφορον τοῦ ἀγῶνος. [5]

P 10 15 [gl.] ἤγουν κατὰ τὸ ἐκ γένους ἔμφυτον.

P 10 19 [gl.] ἡ νίκη ἡ ἐν ὀλυμπίᾳ ἐποίησεν αὐτὸν νικῆσαι ἐν ὅπλοις.

P 10 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[gl.] Ἡ ὀλυμπιονίκη, φησί, τουτέστιν ἡ νίκη ἡ ἐν ὀλυμπίᾳ γενομένη, ἐνέθηκεν αὐτὸν δὶς ἐν τοῖς πολεμαδόκοις ὅπλοις τοῦ ἄρεος, ἤγουν ὁπλιτοδρόμον ὄντα, δὶς ἐν τῷ τοιούτῳ ἀγῶνι ἐποίησε νικῆσαι.

P 10 21bis καὶ ὁ ἀγὼν ὁ ὑπὸ τὴν βαθυλείμωνα πέτραν τῆς κίρρας, ἤγουν ὁ πυθικὸς ἀγών, ἔθηκεν ἀπὸ κοινοῦ τὸν φρικίαν, τὸν πατέρα τοῦ ἱπποκλέους, κρατησίποδα, ἤτοι νικῆσαι τοῖς ποσὶν ἐποίησε. βούλεται δὲ δεῖξαι αὐτὸν καὶ ὀλυμπιονίκην καὶ πυθιονίκην. διὸ καὶ ἄνω εἴρηκεν ὡς τοῖς ἴχνεσιν ἐμβέβηκε τοῦ πατρός, ἀπὸ τῶν ἰχνῶν δηλώσας ὡς δρομεὺς ἦν καὶ οὗτος ὡς ὁ πατὴρ αὐτοῦ· πλὴν ἐκεῖνος μὲν ὁπλιτοδρόμος νενίκηκεν, οὗτος δὲ διαυλοδρόμος: Ἐμοὶ δοκεῖ, πολλῶν καὶ ἄλλων τερπνῶν ὄντων ἐν τῇ ἑλλάδι, ταῦτα μόνα λέγειν τὸν ποιητὴν τερπνά, τὴν ἐκ τῶν ἀγώνων νίκην καὶ τὸν ἐπὶ ταύτῃ ὕμνον, ἤ, εἰ βούλει γε, καὶ τὸν στέφανον· πλείστη γὰρ ἦν αὐτοῖς τοῖς ἕλλησι, φημί, σπουδὴ νικητάς τε γενέσθαι καὶ στέφανον ἐν τῇ κεφαλῇ δέξασθαι καὶ ὕμνοις ἀνακηρυχθῆναι: Ἐπειδὴ πάθος ψυχῆς ὁ φθόνος ἐστὶ καὶ νόσος αἰσχίστη, διατοῦτο λέγει: εἴη ὁ θεὸς ἀπήμων καὶ ἀβλαβὴς κατὰ τὴν ψυχήν, ἤγουν, μὴ τοιοῦτον πάθος ὁ θεὸς ἐν τῇ ψυχῇ δέξαιτο, ὡς φθόνῳ δοκεῖν μετατρέπειν τὰ προσόντα τοῖς ἀνθρώποις ἀγαθά. [5]

P 10 32 ἐκεῖνος δέ ἐστιν εὐδαίμων, φησί, καὶ ὑμνητὸς τοῖς σοφοῖς, ἤγουν ἐκεῖνον ὑμνοῦσιν οἱ σοφοί, ὃς κρατήσας καὶ νικήσας ἐν χερσὶν ἢ ἐν ἀρετῇ ποδῶν, ἤτοι ἐν πάλῃ καὶ δρόμῳ, ἕλῃ καὶ λάβῃ τὰ μέγιστα τῶν ἄθλων, ἤγουν τῶν ἀγώνων ἢ τῶν βραβείων, ἐν τόλμῃ καὶ θρασύτητι καὶ σθένει καὶ ἰσχύϊ. ἀμφότερα δὲ τέθεικεν, ὅτι ὁ ἰσχυρὸς καὶ ἀνδρεῖος δεῖται καὶ τόλμης. δειλίας γὰρ οὔσης ἐν τῇ αὐτοῦ ψυχῇ, οὐδὲν τῆς ἀνδρείας ὄφελος. ταῦτα δὲ διαμέσου εἴρηται, τὰ δὲ ἑξῆς τοῖς ἄνω συνάπτεται, ἐν οἷς περὶ τοῦ νικητοῦ καὶ τοῦ πατρὸς αὐτοῦ ἔλεγεν. οὐ γὰρ τὸν κρατήσαντα τῶν μεγίστων ἄθλων εὔχεται καὶ τὸν υἱὸν ἰδεῖν τὸν νεώτερον τυχεῖν στεφάνων πυθίων, ἀλλὰ περὶ τῶν νῦν ἐπαινουμένων ταῦτά φησι. καὶ τὰ ἑξῆς δὲ περὶ τούτων ἐστὶν εἰρημένα. λέγει γὰρ ὅτι ὁ μὲν χάλκεος οὐρανός, ἤγουν ὁ ἰσχυρός, οὐ γενήσεται τῷ τοιούτῳ ἐπιβατός, τουτέστιν, οὐκ ἂν δυνηθείη εἰς οὐρανοὺς ἀνελθεῖν καὶ τοῖς θεοῖς συγγενέσθαι. γένοιτο δὲ ἐλθεῖν αὐτὸν εἰς τὸν ἔσχατον πλοῦν τῶν ἀγαθῶν ὧν μετέχει τὸ τῶν βροτῶν ἔθνος, ἤγουν εἰς τὸ ἀκρότατον ἀφῖχθαι τῶν ἐν ἀνθρώποις ἀγαθῶν: Οὔτε ἐν ναυσί, φησίν, οὔτε πεζὸς ἰὼν καὶ πορευόμενος εἰς τὸν ἀγῶνα τῶν ὑπερβορέων, τουτέστιν εἰς τοὺς ὑπερβορέους, εὕροις ἂν θαυμαστὴν ὁδόν. [15]

P 10 46 ἤγουν εἰ διὰ τούτων ἔλθῃς, οὐκ ἂν εἴη θαυμαστόν· πολλοὶ γὰρ ἂν τοῦτο δυνηθεῖεν. εἰ δ’ ἐνταῦθα τυγχάνων, τὰ ἐκεῖ γινώσκεις γινόμενα, ὡς ἐγὼ νῦν περὶ τούτων διέξειμι, τοῦτ’ ἂν εἴη θαύματος ἄξιον. τὸ γὰρ διηγεῖσθαί τινα ἃ οὐκ αὐτὸς τεθέαται, ἄλλων δὲ ἰδόντων καὶ διηγουμένων ἀκήκοε, τοῦτ’ ἔστι θαυμαστόν. ἀγῶνα δὲ ὑπερβορέων οἱ μὲν τὸ ἄθροισμα λέγουσιν, ἐγὼ δέ φημι τοῦτ’ εἰρηκέναι ὡς ἀγῶνός τινος κἀκεῖ τελουμένου τῷ ἀπόλλωνι, εἰ καὶ μὴ δῆλον τοῦτο πεποίηκεν. ἔθος γὰρ τούτῳ βραχυλογεῖν καὶ λέξει μιᾷ ὅλην αἰνίττεσθαι ἱστορίαν. ἐπειδὴ γὰρ τοιαύτην ἐτέλουν ἀπόλλωνι ἑορτήν, εἰκός ἐστι καὶ ἀγῶνά τινα τούτῳ τελεῖν: Κλειτὰς ὄνω ν . [10]

P 10 51 τὸ σημεῖον τίθησι συνήθως χ, ὅτι οἱ ὑπερβόρειοι ὄνους θύουσι τῷ ἀπόλλωνι. ὡς καὶ καλλίμαχος. τέρπουσι [ν ] λιπαραὶ φοῖβον ὀνοσφαγία ι . δίδυμος δέ φησι· ταῦτα μετὰ τοῦ γελοίου καὶ ἄσεμνά ἐστι. τίνα γὰρ ἂν λόγον ἔχοι ἥδεσθαι τὸν ἀπόλλωνα τοῖς ὀρθιάζουσι ζώοις; Ἥδεται, φησίν, ὁ ἀπόλλων ὁρῶν τὴν ἀναίρεσιν τῶν ζώων.

P 10 55 ὕβριν δὲ τὴν ἀναίρεσίν φησι διὰ τὰ σκιρτήματα ἃ ἐν τῇ σφαγῇ ποιοῦσιν οἱ ὄνοι. κνώδαλα δὲ κυρίως μὲν τὰ θαλάττια ζῶα, καταχρηστικῶς δὲ καὶ τὰ χερσαῖα: Ἐγὼ ὀρθίων κνωδάλων φημὶ τῶν ἁπλῶν καὶ ἀκάκων ὄνων.

P 10 56

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφελῆ γὰρ τὰ ζῶα ταῦτα καὶ ἄκακα, μαστιγούμενά τε καὶ ἀχθοφορεῖν ἀναγκαζόμενα. εἰ δὲ μὴ ἀνάξιον εἴη τοῦ ποιητοῦ τὸ ῥηθησόμενον ἢ μᾶλλον εἰ ἀστειευόμενος τοῦτο εἴρηκεν, ὀρθίαν ὕβριν φημὶ τὸ σπερματογόνον τῶν ζώων μόριον, διὰ τὸ συνεχῶς ὀρθιάζειν· λάγνον γὰρ τὸ ζῶον μάλιστα. διὰ γὰρ τοῦτο καὶ τὸ γελᾷ προσέθηκεν ἀντὶ τοῦ μειδι ᾷ , ὁρῶν αὐτοὺς ἐπὶ σφαγὴν ἑλκομένους καὶ ἴσως τὸ μόριον ὀρθιάζοντας: Μόχθου, φησί, καὶ μάχης μακράν εἰσι, τὴν παρὰ τὸ μὴ πράσσειν τὸ δίκαιον ἐκφεύγοντες μέμψιν, οἱονεὶ οὐκ ἄδικα πράττοντες μέμψιν ὑφίστανται παρὰ τῶν θεῶν: Ἡ ἱστορία ἐστὶ τοιαύτη.

P 10 72 ὅτε ὁ ἀκρίσιος ἀποκυήσασαν τὴν δανάην τὸν περσέα λάθρα ᾔσθετο, τότε ἐνείρξας αὐτὴν εἰς κιβωτὸν μετὰ τοῦ παιδός, καθῆκεν εἰς τὸ πέλαγος. καὶ προσηνέχθη ἡ κιβωτὸς σερίφῳ τῇ νήσῳ, ἧς πολυδέκτης ἐβασίλευε. καί ποτε ἀνδρωθέντος αὐτοῦ καὶ ἑστιωμένου παρὰ τῷ πολυδέκτῃ, ἑτέρων ἕτερα εἰσφερόντων εἰς ἔρανον, αὐτοῦ μὴ ἔχοντός τι εἰσενεγκεῖν ὑποσχομένου δὲ τὴν τῆς γοργόνος κομίσαι κεφαλήν, πολυδέκτης ἐρῶν τῆς μητρὸς αὐτοῦ καὶ βουλόμενος τοῦτον ἐκποδὼν ποιήσασθαι καὶ τοῦ σκοποῦ τυχεῖν, εὔκαιρον λαβὼν πρόφασιν, τὴν ὑπόσχεσιν ἀπῄτει πληρῶσαι καὶ τῆς νήσου ἐξήλαυνεν. ὁ δὲ ἀπελθὼν καὶ τὴν κεφαλὴν τῆς γοργόνος ἀποτεμών, εἰσήνεγκεν εἰς τὸν ἔρανον, καὶ πάντας ἀπελίθωσε τοὺς ἐν τῷ συμποσίῳ καὶ αὐτὸν τὸν πολυδέκτην. πῶς δὲ εἰς ὑπερβορέους ἦλθεν ὁ περσεύς; ἐπεὶ τὰς γοργόνας τινές φασιν ἐν τοῖς αἰθιοπικοῖς εἶναι μέρεσιν, ἃ πρὸς ἀνατολὴν καὶ μεσημβρίαν εἰσίν, οἱ δὲ ἐπὶ τῶν περάτων λιβύης, ἃ πρὸς δύσιν εἰσίν· ὅτι δὲ αἱ γοργόνες οὔκ εἰσι πρὸς ἄρκτους, δῆλον· οὐδεὶς γὰρ ἱστόρησεν: αἰσχύλος.

P 10 74 δρακοντόμαλλοι γοργόνες βροτοστυγεῖς. [gl.] Ἐμοί, φησίν, οὐδὲν τῶν ὑπὸ θεῶν γινομένων φαίνεται εἶναί ποτε ἄπιστον, ὥστε θαυμάσαι.

P 10 76 οἱ γὰρ ἀπιστοῦντες, οὗτοι θαυμάζουσιν, πῶς τόδε τὸ παράδοξον γέγονεν· ἐγὼ δέ, πιστεύων πάντα τοὺς θεοὺς δύνασθαι, οὐ θαυμάζω: Ἐπιτιμᾷ ἑαυτῷ ὁ πίνδαρος ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει, καὶ τροπικῶς ποιεῖται τὸν λόγον ὡς ἐπὶ νεώς· παῦσον τὴν κώπην, ταχέως δὲ καὶ τὴν ἄγκυραν ἕλκυσον ἐν τῇ γῇ ἀπὸ τῆς πρώρας, οὖσαν δηλονότι τὴν ἄγκυραν ἀλέξημα καὶ βοήθημα τῆς χοιράδος πέτρας, ἤτοι φυλάττουσαν τὴν ναῦν τῆς βλάβης τῆς χοιράδος πέτρας.

P 10 79 χοιράδες δὲ πέτραι λέγονται αἱ ὕφαλοι, ἐφ᾽ ὧν καχλάζει τὸ κῦμα καὶ λανθάνειν αὐτὰς παρασκευάζει, εἰς ἃς αἱ νῆες συμπίπτουσαι συντρίβονται. τὸ δὲ πρώραθεν, ὅτι ἐκ τῆς πρώρας καθίενται αἱ ἄγκυραι εἰς τὴν θάλασσαν: τῆς ὑφάλου· τῆς τραχείας .

P 10 81 ... τὴν οὖσαν βοήθειαν. [gl.] ἐκείνη γὰρ ἄλλοτε ἐπ᾽ ἄλλο ἄνθος μεταπηδᾷ.

P 10 83 [gl.] εὐθύνει.

P 10 84 μεταφέρει. [gl.] Ἐλπίζω δέ, φησί, τῶν ἐφυραίων τῶν περὶ τὸν πηνειὸν ποταμὸν τὴν ἐμὴν ἡδεῖαν φωνὴν ᾀδόντων, ἔτι καὶ πλέον τὸν ἱπποκλέα ἕνεκεν τῶν στεφάνων σὺν ταῖς ᾠδαῖς θαυμαστὸν καὶ ἐπίδοξον θήσειν ἐν τοῖς ὁμήλιξι καὶ ἐν τοῖς πρεσβυτέροις ἀνδράσι, καὶ ταῖς νεωτέραις παρθένοις μέλημα καὶ φροντίδα καὶ μέριμναν.

P 10 85 φατρία δὲ παρὰ τοῖς θετταλοῖς ἡ τῶν ἐφυραίων. οἱ δὲ τοὺς κρανωνίους ἤκουσαν. ἡ γὰρ κρανὼν τοπρότερον ἔφυρα ἐκαλεῖτο, ὕστερον δὲ μετωνομάσθη κρανὼν ἀπό τινος αὐτῆς βασιλεύσαντος κρανῶνος καὶ ἀναιρεθέντος ὑπὸ οἰνομάου μνηστευομένου τὴν ἱπποδάμειαν. εἰς τιμὴν τοίνυν τούτου κρανῶνα τὴν ἔφυραν ὠνόμασαν: Τυχὼν δέ, φησίν, ἕκαστος τούτων τῶν πραγμάτων ἃ ὀρούει, ἤτοι εἰς ἃ τὴν ὁρμὴν ἔχει καὶ ὧν κινηθεὶς ἐρασθῇ δηλονότι, σχοίη ἂν ἁρπαλέαν καὶ ταχεῖαν τὴν παραπόδας φροντίδα καὶ μέριμναν, ἤτοι τὴν μεταταῦτα.

P 10 95 ὁ γὰρ τυχὼν οὗ ἐπιθυμεῖ ἀγαθοῦ καὶ ἕτερον παραπόδας τοιοῦτον ἀφίξεσθαι φροντίζει. τὰ δὲ εἰς ἐνιαυτὸν ἐλευσόμενα, ἤτοι τὰ μετὰ πολὺν χρόνον, ἄδηλόν ἐστι καὶ ἀδύνατον προνοῆσαι. τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ εἴρηκε διὰ τὸ μετὰ τὴν νίκην εὐθὺς καὶ τὸν ὕμνον ἐπιφημισθῆναι τῷ νικητῇ. ἢ τὴν πρὸ ποδῶν, τουτέστι τὴν ὡσανεὶ ἀναχεῖρας οὖσαν: Ὁ θώραξ εἷς ἦν τῶν ἀλευάδων, ἑταῖρος τοῦ νικηφόρου, ὃς καὶ ἠξίωσε τὸν ποιητὴν ἐπὶ τῇ νίκῃ τοῦ ἑταίρου συντάξαι τὸν ἐπινίκιον.

P 10 99 φησὶ γοῦν· θαρρῶ τῇ προσηνεῖ φιλίᾳ τοῦ θώρακος, ὡς οὐκ ἂν ἀποτύχοιμι μισθοῦ. τοῦτο γὰρ ὑπονοεῖν δίδωσιν ἀπὸ τοῦ εἰπεῖν πέποιθ α . ὃς τὴν ἐμὴν ἐπιθυμῶν χάριν, τοῦτο τὸ τῶν μουσῶν τέθριππον ἅρμα ἔζευξε, λέγω δὲ τὸν ὕμνον, ἄγων ἐμὲ εἰς τοῦτο φιλῶν φιλοῦντα καὶ ἀγόμενος προθύμως. χάριν δὲ ἔφησεν ἐμὴν ἢ ἣν κατεσκεύαζεν ἀπὸ τοῦ μισθοῦ χάριν, ἢ ὃν ἔμελλεν ἕξειν ἔπαινον, τὸν ὕμνον συνθείς· ἢ ἐμὴν χάριν εἴποις τὸν μετὰ χάριτος καὶ τεχνικῆς ἐπιστήμης γενησόμενον ὕμνον. ἅρμα δὲ πιερίδων τέτρωρον τὸν ὕμνον λέγει μεταφορικῶς, οὐ μόνον διὰ τὸ ὑψηλόν τινα καὶ μετέωρον εἶναι· τοιοῦτον γὰρ ὁ ἔμμετρος λόγος, διατοῦτο γὰρ καὶ τὸν ἐκτὸς μέτρου λόγον πεζὸν ὀνομάζουσιν· ἀλλὰ καὶ διὰ τὸ εἰς μέγιστον ὕψος τῆς ποιήσεως τοῦτον ἀφῖχθαι, ὥσπερ οἱ ἔφ’ ἅρματος βαίνοντες: Ὥσπερ, φησί, τῷ ἀπόπειραν καὶ δοκιμὴν ποιουμένῳ ὁ χρυσὸς ἐν τῇ βασάνῳ διαπρέπει καὶ τὸ ἑαυτοῦ ἀνθηρὸν τῆς ὕλης δείκνυσιν, οὕτω καὶ ὁ ὀρθὸς νοῦς ἐκ τῆς πείρας δοκιμάζεται.

P 10 105 τοιοῦτος οὖν εὑρεθήσεται καὶ ὁ νικητής. βάσανος δέ ἐστι λίθος λυδία, ἐν ᾗ ὁ χρυσὸς ἀκονώμενος δείκνυται, πότερον καλὸς ἢ κίβδηλός ἐστιν: Ἐν τοῖς ἀγαθοῖς, φησί, κεῖνται αἱ κεδναὶ καὶ συνεταὶ κυβερνήσεις τῶν πόλεων αἱ πατρικαί, τουτέστιν οἱ ἀγαθοὶ τῶν ἀνθρώπων τὰς πατρῴας πόλεις μετὰ συνέσεως κυβερνῶσι καὶ διοικοῦσι.

P 10 110 πατρῴων δὲ ὀφείλων εἰπεῖν πόλεων, πατρώϊαι πρὸς τὸ κυβερνήσεις εἶπε. τὸ δὲ κεῖται ἀντὶ τοῦ κεῖντα ι . συνήθως δὲ τούτῳ τῷ σχήματι κέχρηται: [Pyth.

P 11 t XI.] ἐκ τῶν παλαιῶν σχολίων: τὸ προοίμιον εὐκτικόν: Γέγραπται ἡ ᾠδὴ θρασυδαίῳ θηβαίῳ παιδὶ νικήσαντι κη ′ πυθιάδα καὶ λγ ′ δίαυλον καὶ στάδιον.

P 11 prae 6 οὐκ εἰς τὴν τοῦ διαύλου δὲ νίκην γράφει, ἀλλ’ εἰς τὴν τοῦ σταδίου. ἐν τῷ εἶναι δὲ θηβαῖον τὸν θρασύδαιον τὰς ἀπαθανατισθείσας θηβαίας ἡρωΐδας ἐπικαλεῖται κατὰ τὸν προσαγορευτικὸν λόγον, οὐχὶ τὸν διηγηματικόν. φησὶ γοῦν· ὦ κάδμου κόραι, σεμέλη μὲν τῶν ὀλυμπίων θεῶν σύνοικε, ἰνὼ δὲ τῶν νηρηΐδων τῶν θαλασσίων, παραγίνεσθε σὺν τῇ μητρὶ τοῦ ἡρακλέους τῇ ἀριστογόνῳ, ἤτοι τῇ ἀλκμήνῃ, εἰς τὴν μελίαν εἰς τὸν ἄδυτον ἀνθρώποις θησαυρὸν τῶν χρυσέων καὶ τιμίων τριπόδων, ὃν ἐτίμασεν ἀπόλλων ἐξόχως καὶ ὠνόμασεν ἰσμήνιον, ἀληθῆ μαντείων θῶκον ὄντα: Μελία ὠκεανοῦ θυγάτηρ, ἰσμηνοῦ δὲ ἀδελφή, ἐξ ἧς καὶ ἀπόλλωνος τήνε[ρ]ος ὁ μάντις, ὃς παρ’ ἰσμηνῷ τῷ ποταμῷ ἐμαντεύσατο.

P 11 6 καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ ἰσμήνιον καλεῖται. ἔστι δὲ καὶ πηγὴ ὁμώνυμος τῇ ἡρωΐδι. τριπόδων δὲ εἶπε θησαυρὸν τὸ ἰσμήνιον διὰ τὸ αὐτόθι πολλοὺς ἀνακεῖσθαι τρίποδας. οἱ γὰρ θηβαγενεῖς ἐτριποδηφόρουν ἐκεῖσε: Ἔνθα δή, φησίν, ἤγουν εἰς τὸν ἰσμηνὸν καλεῖ συνέρχεσθαι τὸν ἐπίνομον ὑμῶν τῶν ἡρωΐδων στρατὸν ὁμηγυρέα καὶ συνηθροισμένον, ἵνα ὑμνῆτε τὴν ἱερὰν θέμιν· θέμιδος γὰρ ἦν τὸ χρηστήριον, ὅθεν καὶ τὸ θεμιστεύειν· καὶ τὴν πυθῶνα καὶ τὸν ὀρθοδίκαν ὀμφαλὸν τῆς γῆς, ἤτοι τὴν πυθῶνα ἐκ παραλλήλου, σὺν παννυχίσι.

P 11 12 χάριν λέγω ταῖς ἑπταπύλοις θήβαις καὶ τῷ τῆς κίρρας ἀγῶνι. ἐπικαλεῖται δὲ ἢ ὁ ἀπόλλων ἢ ὁ νικητὴς ἢ ἡ μελία, ὃ καὶ βέλτιστον· θήλεια γὰρ οὖσα, εἰκότως τὰς ἡρωΐδας ἐπικαλεῖται: Ἐν τῷ τῆς κίρρας ἀγῶνι, φησίν, ἤτοι τῷ πυθικῷ, ἀνέμνησεν ὁ θρασύδαιος τὴν πατρικὴν αὐτοῦ οἰκίαν, τῶν κατορθούντων ἐκείνου δηλονότι, ἐπιβαλὼν καὶ ἐπιθεὶς αὐτῇ τρίτον στέφανον νικῶν ἐν τῇ χώρᾳ τῇ πλουσίᾳ τοῦ πυλάδου, τοῦ φίλου τοῦ λάκωνος ὀρέστου.

P 11 21 τρίτον δὲ λέγει στέφανον, ὅτι ἀναγέγραπται ὁ πατὴρ αὐτοῦ ὀλυμπιονίκης γεγονὼς καὶ πυθιονίκης, ὡς [καὶ] οὗτος ἐρεῖ. οὗτος δὲ μόνον πυθιονίκης. τὸ χ δὲ σημεῖον τέθειται, ὅτι τὴν φωκίδα χώραν ἀφνεὰν ἄρουραν εἶπε πυλάδου καὶ ὅτι τὸ ξένου λάκωνος ὀρέστα τοιοῦτον ἀντὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἐν τῇ χώρᾳ τοῦ πυλάδου ὃς ἦν φίλος τοῦ ὀρέστου : Τὸν ὀρέστην, φησί, φονευομένου τοῦ πατρὸς αὐτοῦ ἀγαμέμνονος, ἡ ἀρσινόη ἡ τροφὸς αὐτοῦ ἐκ τοῦ δόλου τῶν κρατερῶν χειρῶν τῆς κλυταιμνήστρας τῆς δυσπενθοῦς ὑπανεῖλε καὶ κρυφίως ὑφείλετο ἤγουν ἔκλεψεν, ὅτε ἡ ἀνηλεὴς γυνή, ἤγουν ἡ κλυταιμνήστρα, πόρευσε καὶ ἔπεμψε παρὰ τὴν εὔσκιον ἀκτὴν τοῦ ἀχέροντος τὴν κασάνδραν τὴν κόρην τοῦ πριάμου τὴν δαρδανίδα, ἤγουν τὴν ἐκ δαρδάνου καταγομένην, σὺν τῇ ψυχῇ τοῦ ἀγαμέμνονος. [5]

P 11 25 τότε γὰρ καὶ αὐτὴν ἐφόνευσεν, ὡς αἰσχύλος ἐν ἀγαμέμνονι λέγει δράματι. δαρδανίδα τὴν κόρην λέγε, ἵν' εἴη τὸ δα βραχύ· οὕτω γὰρ ἀπαιτεῖ τὸ μέτρον. εἰ δὲ τοῦ δαρδανίδα πριάμου εἴποις, οὐκ ἔσται τὸ κῶλον ὀρθόν· μακρὸν γὰρ τότε τὸ α γίνεται. Ἰδίως φησὶν ὁ πίνδαρος ἀρσινόην εἶναι τὴν ὀρέστου τροφόν.

P 11 26 φερεκύδης δὲ λαοδάμειαν λέγει καὶ τὸν ταύτης παῖδά φησιν ἀνῃρῆσθαι ὑπὸ αἰγίσθου, νομιζόμενον ὀρέστην εἶναι, τὸν δὲ ὀρέστην κλαπέντα εἰς φωκίδα πεμφθῆναι πρὸς τὸν ταύτης βασιλεύοντα στρόφιον τὸν πατέρα πυλάδου. ἡρόδοτος δὲ τριῶν ἐτῶν εἶναι τὸν ὀρέστην τότε ἱστόρησεν: Πότερόν νι ν . [5]

P 11 34 δύο ἐπιζητεῖ αἰτίας, δι' ἃς τὸν ἀγαμέμνονα ἀνεῖλε, καί φησι· πότερον ἡ ἰφιγένεια ἡ παῖς αὐτῆς μακρὰν τῆς πατρίδος σφαγεῖσα ἐπὶ τῷ εὐρίπῳ ἐλύπησεν αὐτὴν καὶ ἐκίνησεν ὥστε τὴν ὀργὴν ταύτην τὴν βαρυτάτην κινῆσαι, ἤγουν τὸ βαρύτατον ἐπιχείρημα ἄρασθαι καὶ τολμῆσαι κατὰ τοῦ ἀγαμέμνονος; ἢ ἑτέρῳ λέχει δαμαζομένην, ἤγουν ἑτέρῳ ἀνδρὶ μισγομένην, αὐτὴν αἱ νυκτεριναὶ κοῖται, ἤτοι αἱ νυκτεριναὶ τῆς μοιχείας συνουσίαι, παρήγαγον ἐπὶ τὴν κατὰ τοῦ ἀγαμέμνονος μανίαν, ὥστε αὐτὸν ἐν δόλῳ φονεῦσαι; Ἴσχει τε γά ρ . [5]

P 11 45 τοῦτο διὰ τὸν ἀγαμέμνονα, ὅτι ἐπιφανὴς ὢν ἐφθονήθη· καὶ γάρ, φησίν, ἔχει καὶ ἡ εὐτυχία καὶ εὐδαιμονία οὐ μικρὸν φθόνον· τοῖς εὐτυχοῦσι γὰρ ἀεὶ βασκαίνουσιν ἄνθρωποι. ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ πνέων, τουτέστιν ὁ εὐτελὴς καὶ πένης, ἀφώνως ἠχεῖ, τουτέστι ζῇ. διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὤν, καὶ ἀφανής ἐστι καὶ σιωπῶν τὸν βίον ἀνύει. τὸ σημεῖον δὲ κεῖται χ, ὅτι χαμηλὰ τὰ ταπεινὰ εἶπεν: Ἀπέθανε μέν, φησίν, αὐτὸς ὁ ἀγαμέμνων ὁ ἀτρείδης, ἐν χρόνῳ πολλῷ παραγεγονὼς ἐν ταῖς κλυταῖς καὶ ἐνδόξοις ἀμύκλαις, ἤγουν λακεδαίμονι, καὶ τὴν μάντιν ὤλεσε κόρην, ἤγουν ἀπολέσθαι πεποίηκεν. [5]

P 11 47 αἴτιος γὰρ ἦν αὐτὸς τοῦ ὑπὸ κλυταιμνήστρας ἀποθανεῖν αὐτήν, ἐπειδὴ περὶ τῆς ἑλένης μαχόμενος, συμφλεχθείσης τῆς τροίας καὶ τῶν ἐνοικούντων τρώων, διέλυσε τοὺς δόμους αὐτῶν τῆς εὐδαιμονίας, τουτέστι τοὺς πλουσίους αὐτῶν οἴκους κατέστρεψεν: ὄλεσσ ε . [5]

P 11 49 διὰ τὸ μέτρον. [gl.] ἐξίκετο.

P 11 53 ἀφίκετο. ἦλθεν. συστέλλεται τὸ ι . [gl.] ἔκπεφνε.

P 11 56 οὕτω διὰ τὸ μέτρον. [gl.] Ἐπιπλήττει ὥσπερ ἑαυτὸν ὁ πίνδαρος παρεκβάσει χρησάμενος, καί φησιν· ἆρ', ὦ φίλοι, κατ' ἀμευσίπορον ὁδὸν ἐπλανήθην, εὐθεῖαν τοπρότερον πορευόμενος; ἢ ἄνεμός με τοῦ πλοῦ ἐξέβαλεν, ἤγουν ἔξω τοῦ δέοντος βαδίζειν πεποίηκεν, ὥσπερ θαλασσίαν ναῦν; ἀμευσίπορον δὲ λέγει τὴν τρίοδον, ἐπειδὴ ὁ ἀπ' εὐθείας ἐν τριόδῳ παραγενόμενος ἀπορεῖ ποίαν ὁδὸν ἀμείψεται καὶ βαδίσει: τὸ δ ' ἐτεό ν . [5]

P 11 63 ἀντὶ μιᾶς. ἀληθῶς. [gl.] Μοῦσ α .

P 11 63 bis τὸ δ ' ἐτεό ν . εἰ δὲ ἀληθῶς, ὦ ἡμετέρα μοῦσα, συνέθου εὖ καὶ καλῶς παρασχεῖν τὴν σὴν φωνὴν ἐπὶ μισθῷ ὑπάργυρον ἤγουν ἐπιμίσθιον ἀργυρίου, χρὴ καὶ πρέπει ταρασσέμεν καὶ ἀνακινεῖν καὶ ἀναμοχλεύειν ἄλλα τό γε νῦν ἢ τῷ πατρὶ τοῦ θρασυδαίου τῷ πυθονίκῳ ἤτοι τῷ ἐν πυθοῖ νικήσαντι ἢ τῷ θρασυδαίῳ, ἤγουν ἐπεὶ μισθὸν εἴληφας, οὐ χρὴ ἑτέρων μεμνῆσθαι, ἄλλα δὲ κινεῖν καὶ προτιθέναι εἰς ἔπαινον, τὸν θρασύδαιον δηλονότι καὶ τὸν πατέρα αὐτοῦ. τούτων γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ εὐφροσύνη καὶ ἡ δόξα ἡ ἐκ τῆς νίκης διαλάμπει: Ἄνω πυθιονίκην τὸν τοῦ θρασυδαίου πατέρα εἰπών, νῦν καὶ ὀλυμπιονίκην λέγει, αὐτὸν δὲ μόνον πυθιονίκην. [5]

P 11 70 φησὶ γάρ· τὰ μὲν ἐν ἅρμασι καλλίνικοι ὑπῆρξαν πάλαι, ἤγουν πρὸ χρόνων νενικήκασιν ἐν ἅρματι πύθια, καὶ ἐν ὀλυμπίᾳ ἔσχον ταχεῖαν ἀκτῖνα ἤτοι λαμπρότητα τῶν πολυθρυλλήτων ἀγώνων ἐν ἵπποις, ἤγουν κἀνταῦθα ἐνίκησαν ἅρματι. καὶ ἐν πυθοῖ καταβάντες ἐπὶ γυμνὸν στάδιον, ἤλεγξαν τὴν στρατιὰν τὴν ἑλληνίδα, ἤγουν τὸν τῶν ἑλλήνων λαόν, ἐν τῇ ταχυτῆτι τῶν ποδῶν δηλονότι. τοῦτο δὲ μόνου ἦν θρασυδαίου τὸ νικῆσαι στάδιον, ὥσπερ τὰ εἰρημένα τοῦ πατρὸς αὐτοῦ. συλληπτικῶς δὲ ἐπ' ἀμφοτέροις κἀκεῖνα καὶ ταῦτα τέθεικεν: Οἱ φθονεροί, φησί, τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ ἀμύνονται καὶ μάχονται ἐκεῖνον, εἴ τις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας λαβὼν καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων τὴν χαλεπὴν ὕβριν καὶ στάσιν ἀπέφυγεν. [5]

P 11 83 ἔσχε δὲ καλλίονα θάνατον, ἤτοι τίμιον, πορὼν καὶ παρασχὼν τῇ γλυκυτάτῃ αὐτοῦ γενεᾷ, ἤτοι τοῖς φιλτάτοις αὐτοῦ παισί, χάριν εὐώνυμον, τουτέστιν εὐφημίαν δεξιὰν καὶ ὑπὸ πάντων φημιζομένην, βελτίστην καὶ κρείττονα τῶν κτημάτων αὐτοῦ, ὧν αὐτοῖς καταλέλοιπε. δύο δὲ βούλεται δηλῶσαι ἐν τούτοις· ἓν μέν, ὅτι οἱ φθονεροὶ τοὺς εἰς ἄκρον εὐδαιμονίας ἐληλακότας καὶ ἀποθανόντας ἀμύνονται τῇ αὐτῶν βασκανίᾳ, μέμψεις τινὰς κατ' αὐτῶν φέροντες· ἕτερον δέ, ὅτι οἱ τοιαύτῃ συζήσαντες εὐδαιμονίᾳ, ὡς εἰρηνικὸν καὶ ἥσυχον διελθεῖν τὸν βίον καὶ φυγεῖν τὴν χαλεπὴν στάσιν καὶ μάχην οὐ μόνον τίμιον ἔσχον τέλος, ἤγουν οὐ μόνον ἄριστον καὶ ἔνδοξον ἐκτήσαντο θάνατον, ἀλλὰ καὶ τοῖς παισὶν αὐτῶν εὐφημίαν παρὰ πᾶσιν ᾀδομένην παρέσχον κρείττονα τῶν κτημάτων, ὧν αὐτοῖς καταλελοίπασι. βουλόμενος δὲ δεῖξαι τοῦτο ὡς πολλῷ τῶν κτημάτων ἡ εὐφημία κρείττων, ὡς ἂν τοῦτο πάντας παρακινήσῃ διώκειν, ἰόλαόν τε καὶ διοσκούρους παράδειγμα τέθεικε, δεικνὺς ἐκ τούτου ὡς οὐδὲν ἐκείνους τὰ κτήματα ὠφέλησεν, ἡ δ' εὐφημία μέχρι τουνῦν τὴν αὐτῶν ἀρετὴν ἀνακηρύττει: Τὸ τοῦ ὁμήρου μοι δοκεῖ ἐνταῦθα παραφράζειν, τό· ἄλλοτε μὲν ζώους' ἑτερήμεροι, ἄλλοτε δ' αὖ[τε] τεθνᾶσιν: [Pyth. [15]

P 12 t XII.] ἐκ τῶν παλαιῶν σχολίων: τὸ προοίμιον εὐκτικόν: Γέγραπται ἡ ᾠδὴ μίδᾳ αὐλητῇ ἀκραγαντίνῳ.

P 12 prae 8 οὗτος ἐνίκησε τὴν κδ ʹ πυθιάδα καὶ κε ʹ. φασὶ δὲ αὐτὸν καὶ παναθήναια νενικηκέναι. ἱστοροῦσι δέ τι ἴδιον σύμπτωμα συμβεβηκέναι περὶ τὸν αὐλητὴν τοῦτον. ἀγωνιζομένου γὰρ αὐτοῦ ἀνακλασθείσης τῆς γλωσσίδος ἀκουσίως καὶ προσκολληθείσης τῷ οὐρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι, τοὺς δὲ ἀκροατὰς ἡσθέντας καὶ ξενισθέντας τῷ ἤχῳ νικῆσαι οὕτω κρῖναι αὐτόν. ὁ δὲ λόγος ἀποτείνεται τῷ πινδάρῳ πρὸς τὴν ἀκράγαντα πόλιν. φησὶ γάρ· ὦ φιλόκαλε καὶ καλλίστη τῶν ἀνθρωπίνων πόλεων πόλις, ἕδος καὶ ἔδαφος τῆς περσεφόνης· ἀπὸ μέρους δὲ τὴν ὅλην σικελίαν δηλοῖ, ἣν ἐδωρήσατο τῇ περσεφόνῃ ὁ ζεύς· ἥτις ναίεις καὶ οἰκεῖς ἐπὶ τοῦ μηλοβότου ἀκράγαντος, τοῦ ὁμωνύμου ποταμοῦ, εἰς τὴν εὔδμητον καὶ εὐκατασκεύαστον κολώνην· λέγεται γὰρ ἐφ' ὑψηλοῦ κεῖσθαι· τὸ δὲ ναίεις ἀντὶ τοῦ ναί η , ὡς ὅμηρος ναιετάουσι πόληες ἀντὶ τοῦ ναιετάονται · καὶ ὦ ἄνα καὶ ἄνασσα τῶν ἀθανάτων, ἤτοι τῶν θεῶν, καὶ τῶν ἀνθρώπων, ἵλαος καὶ ἡμερωτάτη δέξαι σὺν εὐμενείᾳ, ἤγουν εὐμενῶς ὑπόδεξαι, τόδε τὸ στεφάνωμα τοῦ ἐνδόξου μίδα τὸ ἐκ πυθῶνος, ἤτοι τὸν ὕμνον τόνδε τὸν ἐπὶ τῇ νίκῃ τῶν πυθίων γινόμενον αὐτῷ· δέξαι δὲ τόνδε, ἤγουν τὸν μίδαν, νικήσαντα ἐν τῇ τέχνῃ αὐτοῦ, ἤτοι τῇ αὐλητικῇ, νὶν καὶ αὐτὴν τὴν ἑλλάδα· ἥντινα τέχνην ἐφεῦρεν ἡ ἀθηνᾶ ποτε διαπλέξασα καὶ κατασκευάσασα τὸν ὀλέθριον θρῆνον τῶν θρασειῶν γοργόνων, ἤτοι μιμησαμένη πῶς ἐθρήνουν ἐκεῖναι. τοιοῦτο γάρ τι μυθεύεται περὶ τούτου, ὅτι, ὅτε ὁ περσεὺς ἐκαρατόμησε τὴν μέδουσαν, αἱ δύο ἀδελφαὶ ἐθρήνουν αὐτὴν καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν καὶ τῶν ὄφεων τῶν περὶ αὐτὴν συριγμός τις ἀνεδίδοτο. τούτου τοῦ συριγμοῦ ἀκούσασα ἡ ἀθηνᾶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἐκ τῶν ὄφεων πρὸς μίμησιν τῶν θρήνων καὶ τοῦ γινομένου συριγμοῦ ἐκ τῶν ὄφεων ἐπενόησε τὴν αὐλητικήν, ἣν καὶ ὠνόμασε πολυκέφαλον νόμον διατοῦτο, ἐπεὶ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων εἷς τις ἀνεδίδοτο συριγμός: εὐμενί ᾳ .

P 12 8 ἤγουν εὐμενῶς. ἰωνικὴ συστολή. [gl.] Τότε, φησίν, ἄϊε καὶ ἤκουσεν ἡ ἀθηνᾶ τὸν θρῆνον τοῦτον λειβόμενον καὶ ἀποστάζοντα σὺν δυσπενθεῖ καμάτῳ, ἤγουν μετὰ δακρύων γινομένων δυσπενθῶς· δεινῶς γὰρ ἐπένθουν καὶ σὺν μόχθῳ καὶ ὀδύνῃ τὴν ἀδελφήν· ὑπὸ ταῖς παρθενίοις καὶ παρθενικαῖς κεφαλαῖς τῶν γοργόνων καὶ ὑπὸ ταῖς ἀπλάτοις καὶ ἀπλησιάστοις καὶ φοβεραῖς κεφαλαῖς τῶν ὄφεων τῶν περὶ τὰς ἐκείνων κεφαλάς· ὄφεις γὰρ αἱ τρίχες αὐτῶν ἦσαν· ὡς καὶ αἰσχύλος· δρακοντόμαλλοι γοργόνες βροτοστυγεῖ ς .

P 12 15 τότε τοίνυν ἤκουσε τὸν θρῆνον ἡ ἀθηνᾶ, ὅτε ὁ περσεὺς ἄϋσε καὶ ἐπολέμησε τὸ τρίτον μέρος τῶν ἀδελφῶν γοργόνων, ἤτοι τὴν τρίτην τῶν γοργόνων, ἄγων καὶ κομίζων μοῖραν ἤτοι θάνατον τῇ ἐναλίῳ καὶ θαλασσίᾳ σερίφῳ νήσῳ καὶ τοῖς ἐν αὐτῇ λαοῖς: ἄϋσεν ἐπολέμησεν.

P 12 19 ἀπὸ τῆς ἀϋτῆς. [gl.] Ἦτοι τότ ε .

P 12 23 ὄντως τότε ἠμαύρωσε καὶ ἠφάνισε τὸ θεσπέσιον καὶ ἐκ θεῶν καταγόμενον γένος τοῦ φόρκοιο, ἤγουν τοῦ φόρκου, ἤτοι τὰς φορκίδας γοργόνας. φασὶ γὰρ ὅτι τὴν μὲν μίαν ἐκαρατόμησε, τὴν δ’ ἄλλην ἐτύφλωσεν· ἕνα γὰρ ὀφθαλμὸν αἱ τρεῖς εἶχον. καὶ τὸν λυγρὸν καὶ χαλεπὸν ἔρανον, ἤτοι τὴν εἰσφοράν, θῆκε καὶ ἐποίησε τῷ πολυδέκτῃ τῷ βασιλεῖ σερίφου. καὶ τῆς μητρὸς τῆς εὐπαρᾴου καὶ εὐειδοῦς τὴν δουλοσύνην ἔθηκεν ἔμπεδον καὶ ἀσφαλῆ, ἤγουν ἐλευθέραν, καὶ τὸ λέχος τὸ ἀναγκαῖον, ἤτοι τὴν μετ’ ἀνάγκης συνοίκησιν, ἔθηκεν ἐλεύθερον· ἄκουσαν γὰρ εἶκεν αὐτὴν πολυδέκτης εἰς λέχος· τὴν κρᾶτα τῆς μεδούσας, ἤτοι τὴν κεφαλήν, συλήσας καὶ κρυφίως λαβὼν ὁ υἱὸς δανάης, ἤγουν ὁ περσεύς, ὅν φασιν ἀπὸ χρυσοῦ γενέσθαι αὐτομάτως εἰς τὸν οἶκον εἰσρυέντος δανάης. ἀλλ’ ἡ μὲν περὶ τούτου ἱστορία ἐν δράματι σοφοκλέους εἴρηται, ἡ δὲ περὶ τοῦ ἐνταῦθα δηλουμένου ἐράνου ἐν ἑτέρῳ ἐπινικίῳ προείρηται: συλλήσα ς .

P 12 28 διὰ τὸ μέτρον. [gl.] αὐτορύτο υ .

P 12 30 διὰ τὸ μέτρον ἓν ρ . [gl.] Ἀλλ’ ἐπεὶ ἡ παρθένος ἀθηνᾶ, φησίν, ἐρρύσατο τὸν φίλον αὐτῇ ἄνδρα ἤτοι τὸν περσέα ἤγουν ἐλευθέρωσε τούτων τῶν πόνων τῶν ὑπὲρ τῆς γοργόνος, τεῦχε καὶ κατεσκεύασε τὸ πάμφωνον μέλος τῶν αὐλῶν ἤτοι τοὺς αὐλούς, ὄφρα καὶ ὅπως μιμήσαιτο σὺν τοῖς τοιούτοις αὐλοῖς τὸν ἐρικλάγκταν καὶ μεγαλόηχον καὶ μεγάλην ποιοῦντα κλαγγὴν γόων καὶ θρήνων τὸν χριμφθέντα καὶ ἐκδοθέντα ἐκ τῶν καρπαλίμων καὶ ἰσχυρῶν γενύων καὶ στομάτων τῆς εὐρυάλης τῆς γοργόνος.

P 12 31 πληθυντικῶς δὲ εἶπε τῶν γενύων, δηλῶν ὡς οὐκ ἐκ μόνου τοῦ στόματος ἐκείνης καὶ τῆς ἀδελφῆς αὐτῆς σθενοῦς ὁ θρῆνος ἐξήρχετο· δεῖ γὰρ ἀπὸ ταύτης κἀκείνην νοεῖν· ἀμφότεραι γὰρ τὸν θρῆνον ἐποίουν· ἀλλὰ καὶ ἀπὸ τῶν γενύων ἤτοι τῶν στομάτων τῶν ὄφεων, αἵτινες ὡς χαῖται τῶν κεφαλῶν αὐτῶν ἀπῃώρηντο: Πολυκέφαλον νόμον ὠνόμασε τὸ μέλος, ἐπειδὴ αἱ τῶν δρακόντων κεφαλαὶ αἱ συρίξασαι πολλαὶ ἦσαν, ὧν κατὰ μίμησιν συνέθηκε τοῦτο.

P 12 41 ἔνδοξον δὲ μνηστῆρα ἤτοι ὑπόμνημα τῶν ἀγώνων λέγει τὸ μέλος, ὅτι τῶν αὐλῶν ἠχούντων πρὸς τοὺς ἀγῶνας ἐχώρουν οἱ ἀθληταί. πρότερον μὲν γὰρ ἡσυχάζουσιν, ἀρξαμένων δὲ τῶν ὀργάνων ᾄδειν, σύνθημα οἷον λαμβάνοντες χωροῦσι πρὸς τοὺς ἀγῶνας: Τοὺς δόνακας λέγει, οἳ περὶ τὴν ὀρχόμενον φύονται, ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται.

P 12 44 ἐν γὰρ τῷ κηφισῷ ποταμῷ τῷ περὶ τὴν ὀρχομενὸν ὄντι οἱ αὐλητικοὶ κάλαμοι φύονται. τὸ δὲ ναίουσι κάλαμοι σκληρὸν καὶ διθυραμβῶδες προήγαγεν· ἔδει γὰρ εἰπεῖν φύονται : Ἐκτελευτήσει καὶ τελέσει, φησίν, ὁ θεὸς τὸν ὄλβον τοῦτον, τουτέστιν ἐπὶ τέλους ἄξει ἢ σήμερον ἢ αὔριον, ἤτοι ὕστερον· τοῦτο γὰρ ἔδει ἐπενεγκεῖν, ὃ δὴ παρέλιπεν.

P 12 51

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τουτέστιν· ἐὰν μὴ παραχρῆμά τις εὐτυχήσῃ, μὴ ἀδημονείτω· ὁ γὰρ θεὸς τὸ εἱμαρμένον ἢ σήμερον τελέσει ἢ αὔριον· τὸ γὰρ μόρσιμον καὶ εἱμαρμένον οὐ φευκτόν ἐστιν, ἀλλ' ἀπαραιτήτως ἔρχεται. τοῦτο δέ φησιν, ἐπεὶ ἀπροσδοκήτως ἐνίκησε, κλασθέντος τοῦ καλάμου: Ἀλλ' ἔσται, φησί, χρόνος οὗτος, ὃς βαλὼν καὶ τρώσας ἤγουν λυπήσας τινὰ καὶ ἄλλοις δηλονότι τισὶ καὶ ἐν ἀνελπιστίᾳ ἔμπαλιν ἤτοι ἐναντίον τῆς ἐκείνου γνώμης τὸ μὲν δώσει μετά τινα χρόνον δηλονότι, τὸ δὲ οὐδαμῶς.

P 12 54 τοιοῦτο δέ τι δοκεῖ λέγειν, ὅτι, ἐλπίσαντός τινος μετὰ βραχύν τινα χρόνον γενέσθαι αὐτῷ ἀγαθόν τι, ὁ χρόνος παραταθεὶς καὶ λυπήσας αὐτὸν καὶ εἰς ἀνελπιστίαν ἐμβαλὼν ἐναντίαν τῇ αὐτοῦ γνώμῃ· οὐχ οὕτω γὰρ ἐκεῖνος ἤλπιζε· τὸ μὲν ἔδωκε τῶν ἐλπιζομένων αὐτῷ, τὸ δὲ οὐδαμῶς, καὶ τοῦτο δὲ μετὰ πολύν τινα χρόνον παρ' ἐλπίδας: Ὑπόθεσις τῶν νεμέων πινδάρου: παλαιόν.

N hyp 1 Τὸν ἀγῶνα τῶν νεμέων τινὲς μὲν ὑφ' ἡρακλέους τεθεῖσθαί φασιν ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει, οἱ δὲ ἄλλην τινὰ [ἱστο]ρίαν λέγουσιν. οἱ ἑπτὰ ἐπὶ θήβας πολυνείκει συμμαχοῦντες παρέβαλον τῇ νεμέᾳ διψήσαντες, οἱ δέ φασι τῇ λήμνῳ τῇ θρᾳκικῇ. ἐντυγχάνουσι δὲ ὑψιπύλῃ τῇ λημνίᾳ καὶ καθικετεύουσιν ὡς τῶν χωρίων ἔμπειρον οὖσαν δεῖξαι αὐτοῖς ὕδωρ πότιμον. ἡ δὲ χάριν τούτοις ἀπονεῖμαι βουληθεῖσα κατέλιπεν ἔν τινι τόπῳ ἀρχέμορον τὸν λυκούργου τοῦ ἱερέως παῖδα, ὃν ἔφερεν ἐν χερσὶν ὡς τροφὸς οὖσα τούτου. ἀπερχομένων δὲ αὐτῶν ἐπὶ τὴν πηγήν, ὄφιν φασὶν ἐξελθόντα τοῦ φωλεοῦ περιπλακῆναι τῷ παιδὶ καὶ ἀποπνῖξαι. τοὺς δὲ ἐπανελθόντας καὶ τὸ πάθος θεασαμένους ἀνελεῖν μὲν τὸν ὄφιν, δυσφορῆσαι δὲ ἐπὶ τῷ γεγονότι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γέγονεν. εἶτα τῇ συμφορᾷ βραχεῖάν τινα παραμυθίαν διδόντας θάψαι τὸν παῖδα καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐστολισμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἔχοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος καὶ κατὰ τριετίαν ἤγετο. ἔτυχε δὲ ὑψιπύλη ἐν νεμέᾳ τρόπῳ τοιούτῳ. ὡρισμένου παρὰ τῶν λημνιάδων πᾶν τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν ὑψιπύλη τὸν πατέρα θόαντα ἐνείρξασα κιβωτῷ ἐφύλαττεν. ὕστερον δὲ μετὰ τὸ τοὺς ἀργοναύτας ἐκπλεῦσαι, φανεροῦ γενομένου ταῖς λημνιάσι τοῦ κατὰ τὸν θόαντα, αὐτὸν μὲν κατεπόντωσαν ἐνείρξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς ὑψιπύλης θάνατον. ἡ δὲ μαθοῦσα φεύγει. ἐν τοσούτῳ δὲ λῃσταῖς περιτυχοῦσα πιπράσκεται λυκούργῳ. κατ' ἐκεῖνον δὲ τὸν χρόνον κατὰ ζήτησιν οἱ ταύτης παῖδες θόας καὶ εὔνεως παρέβαλον ἐν νεμέᾳ. εὐρυδίκης δὲ τῆς λυκούργου γυναικὸς βουλομένης διὰ τὸν ὀφέλτου τοῦ καὶ ἀρχεμόρου θάνατον ἀνελεῖν τὴν ὑψιπύλην καὶ διατοῦτο ἔν τινι τόπῳ κατακλεισάσης αὐτήν, ἀμφιάραος μαντευσάμενος δείκνυσι πᾶσι τὴν ὑψιπύλην. ἡ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τοὺς ἥρωας τοῖς παισὶ συναγωνίσασθαι. ἀμφιάραος δὲ μαντευόμενος καὶ τοῖς εἰρημένοις στρατηγοῖς, ἀρχέμορον τὸν παῖδα ὠνόμασεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τούτου θάνατος. ἄλλοι δέ, ὧν ἐστι καὶ αἰσχύλος, ἐπ' ἀρχεμόρῳ τῷ νεμέας παιδὶ συστῆναι τὸν ἀγῶνα λέγουσιν· οἱ δὲ ἐπὶ τῷ ταλαοῦ παιδί, ἀδράστου δὲ ἀδελφῷ. εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ θηβαϊκοῦ πολέμου. ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθιστάντες τὸν ἀγῶνα. ὑπέσχοντο δὲ οἱ στρατηγοὶ ἐκ τῶν λαφύρων ὑποστρέψαντες γυμνήτην αὐτὸν ποιῆσαι, καὶ διατοῦτο στεφανίτης πρῶτον ἐκλήθη. προέστησαν δὲ τοῦ ἀγῶνος ἀργεῖοι καὶ κορίνθιοι καὶ κλεωναῖοι, ἐμπεδοῦντες δὲ αὐτὸν τῷ νεμέῳ ἐπέθηκαν διΐ. καὶ ἡρακλῆς ὕστερον νικήσας καὶ καταγωνισάμενος τὸν νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος, τὰ πολλὰ ἀνορθωσάμενος, καὶ διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ἐστέφοντο δὲ τοπαλαιὸν ἐλαίαις, ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν μηδικῶν ἐπὶ τιμῇ τῶν κατοιχομένων ἔπλεκον τὸν στέφανον ἐν χλωρῷ σελίνῳ. διαφέρει δὲ τοῦ κατὰ τὸν ἰσθμόν, καθόσον ἐκεῖνος μὲν ξηρὰ ἔχει τὰ σέλινα, οὗτος δὲ χλωρά. ἤγετο δὲ μηνὶ πανέμῳ ιη ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅς ἐστιν ἰούλιος. οὐκ ἐξῆν δὲ πρότερον ἀγωνίζεσθαι, εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους· ὕστερον δὲ ἐπιλειψάντων καὶ τοῦ ἔθους διαλυθέντος, συνέβη πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός: [Nem.

N 1 t I.] Γέγραπται ὁ ἐπίνικος χρομίῳ αἰτναίῳ.

N 1 prae 1 ἱέρων γὰρ οἰκιστὴς τῆς κατάνης βουλόμενος ὀνομάζεσθαι, τὸ κατάνη ἐξελὼν αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναρρήσεσιν ἔν τισι τῶν ἀγώνων αἰτναῖον ἑαυτὸν εἶπεν. οὕτω καὶ τὸν χρόμιον αἰτναῖον καλεῖ. ζητεῖται δέ, τί δή ποτε ἀλφειῷ προσδιαλέγεται καὶ ὀρτυγίᾳ, τῆς νίκης οὐκ οὔσης ὀλυμπιακῆς. ἔνιοι μὲν οὖν φασιν ὅτι τὰ ἱπποτροφεῖα τοῦ ἱέρωνος καὶ τοῦ χρομίου ἐν ὀρτυγίᾳ ἦν, τὴν δὲ ἱερὰν εἶναι ἀρτέμιδος, τὴν δὲ θεὸν ἱππικήν. ὅμηρος δὲ καὶ πίνδαρος χρυσήνιον προσεφώνησαν αὐτὴν καὶ τὴν ἐπ’ αὐτῇ ἄρτεμιν. διατοῦτο καὶ ἐν ἄλλοις πίνδαρον φάναι ποταμίας ἕδος ἀρτέμιδο ς . ἀπόχρη δὲ εἰπεῖν, ὅτι ἱππικὴ ἡ θεός. ἀνάκειται δὲ ἡ νῆσος αὕτη τῇ θεῷ· ψεῦδος γὰρ τὸ εἶναι τὰ ἱπποτροφεῖα τοῦ ἱέρωνος ἐν αὐτῇ:

Eulogikon public reading copy · View original HTML at eulogikon.org